
349 sqq. cf. Hymn. Hom. Cer. 418 sqq. *Λευκίππη Φαινώ τε καὶ Ἠλέκτρη καὶ Ἰάνθη | καὶ Μελίτη Ἰάχη τε Ῥόδειά τε Καλλιρόη τε | Μηλόβοσίς τε Τύχη*

---

343 errore omissus, in marg. inani supra v. 342 scriptus est in D m[1] *Πηνειόν*] *Πηνεϊόν* Nauck MGrR. III 234 *ἐυρρείτην*] *εὐρρείτην* L, *ἐνορείτην* K, *εὐρείτην* FHI, *ἐυρρυτόν* D, *ἐυρρεέτην* Nauck MGrR. V 136 *Κάικον*] *κάυκον* D 344 *Σαγγάριον*] quinque litterae priores in ras. D 345 *Ἄρδησκον*] *ἀλδήσκον* (*λ* littera rubra in ras.) E, *ἀλδῆσκον* F, *Ἄλδησκον* Triclinius (cf. Dionys. Perieg. 314 *Ἀλδήσκοιο*); *Ἄρτησκον* Sittl ed. p. 118 et 439 *Σκάμανδρον*] *κάμανδρον* D (cf. schol. Ven. A Hom. *Α* 1 . . *τὸ Κάμανδρος ἀντὶ τοῦ Σκάμανδρος*; de hac scriptura in codd. Homeri obvia v. La Roche Hom. Unters. 43 adn. 17) 347 *κουρίζουσι — ἄνακτι*] *κουρίζουσιν Ἀπόλλωνι ξὺν ἄνακτι* Triclinius 348 *Διὸς πάρα*] *διὸς περὶ* H, *περὶ διὸς* I 349 *Ἀδμήτη*] *ἀτμήτη* Ψ *τε Ἰάνθη*] *τ' ἰάνθη* DG *Ἰάνθη τ' Ἠλέκτρη τε*] *καὶ Ἠλέκτρη καὶ Ἰάνθη* Voss ex Hymn. Hom. Cer. 418 (p. 119) 350 *Οὐρανίη*] *οὐρανία* Ωb 351 *Κλυμένη*] *κταμένη* D (quod e *Κτιμένη* corruptum esse suspicatur Sittl ed. p. 439) *Ῥόδεια*] *ῥόδια* Ωb, *ῥοδία* HI *Καλλιρόη*] *καλλιρρόη* F 352 additus in marg. E *τε Ἰδυῖα*] ΩbcΨ, *τ' εἰδυῖα* D; *Εἰδυῖα* etiam schol. (249 Fl.) Exegesis (396 Fl.); *τε Ἴδυια* Sittl ed. 439 *Πασιθόη*] DE Exegesis (396, 19 Fl.), *Πασιθέα* schol. (249, 7 Fl.), *πεισιθόη* FΩcΨ 353 *Γαλαξαύρη*] *γαλαξόρη* HI, *Μαλαξαύρη*? Guyet Not. in Hes. 176, *καὶ Ἀλεξιάρη* Paley ed.[1] 193 (*ταλαξαύρη* cod. M Hymn. Hom. Cer. 423) *ἐρατή*] *ἐρατώ* Ψ, *Ἐρατώ* schol. (249, 10 Fl.) Exegesis (396, 22 Fl.) *Διώνη*] om. G, *διόνη* H 354 *Θόη*] *θοή* EHI, unde *Μηλόβοσίς τε θοὴ καὶ* Peppmüller in ed. mea[1] p. 25 355 *Κερκηίς*] *κερκῆις* D, *κερκίς* G *Πλουτώ*] *πλουτή* HI, *Πλωτώ*? Fick d. gr. Personenn.[2] 461, sed cf. Hymn. Hom. Cer. 422 356 *Ἰάνειρα*] *ὑάνειρα* D *Ξάνθη*] *ξανθή* I 357 *ἐρόεσσα*] *ἐρώεσσα* E, *ἐράεσσα* F *Μενεσθώ*] *Μενεστώ* schol. (249, 21 Fl.) Exegesis (397, 1 Fl.) 358 *Μῆτίς τ'*] *τ'* om. G *Εὐρυνόμη*] *εὐρυνόη* G *Τελεστώ*] Ω scholion (249, 24 Fl.) Exegesis (397, 4 Fl.), *Τελεσθώ* Ψ Ioannes Diaconus (323, 18 Fl.)

Χρυσηίς τ' Ἀσίη τε καὶ ἱμερόεσσα Καλυψὼ
Εὐδώρη τε Τύχη τε καὶ Ἀμφιρὼ Ὠκυρόη τε
καὶ Στύξ, ἣ δή σφεων προφερεστάτη ἐστὶν ἁπασέων.
αὗται δ' Ὠκεανοῦ καὶ Τηθύος ἐξεγένοντο
πρεσβύταται κοῦραι· πολλαί γε μέν εἰσι καὶ ἄλλαι.
τρὶς γὰρ χίλιαί εἰσι τανύσφυροι Ὠκεανῖναι,
αἵ ῥα πολυσπερέες γαῖαν καὶ βένθεα λίμνης
πάντῃ ὁμῶς ἐφέπουσι, θεάων ἀγλαὰ τέκνα.
τόσσοι δ' αὖθ' ἕτεροι ποταμοὶ καναχηδὰ ῥέοντες,
υἱέες Ὠκεανοῦ, τοὺς γείνατο πότνια Τηθύς·
τῶν ὄνομ' ἀργαλέον πάντων βροτὸν ἀνέρ' ἐνισπεῖν,

---

363 cf. φ 251 *εἰσὶ καὶ ἄλλαι πολλαί* (*Ἀχαιίδες*) 365 *N* 21 *βένθεσι λίμνης** 366 *B* 871 *ἀγλαὰ τέκνα**

⟨τε⟩ καὶ Ὠκυρόη καλυκῶπις | Χρυσηίς τ' Ἰάνειρά τ' Ἀκάστη τ' Ἀδμήτη τε | καὶ Ῥοδόπη Πλουτώ τε καὶ ἱμερόεσσα Καλυψὼ | καὶ Στὺξ Οὐρανίη τε Γαλαξαύρη τ' ἐρατεινή

361 cf. ad 79 367 Callim. Hymn. Del. 45 *Εὐρίποιο πόρον καναχηδὰ ῥέοντος** Dionys. Perieg. 644 *ἀπειρέσιοι ποταμοὶ καναχηδὰ ῥέουσιν** 369 sq. Dionys. Perieg. 646—649 *τίς ἂν πάντ' οὐνόματ' εἴποι* (*ποταμῶν*); | *οὐ μὲν ἐπωνυμίην μίαν ἔλλαχεν, ἀλλ' ἐν ἑκάστῃ | οὔνομ' ἔχει στροφάλιγγι. τὰ δ' ἂν κείνοισι μέλοιτο | ἀνδράσιν, οἳ κατὰ χῶρον δμούριον οἶκον ἔθεντο*

---

359 Schol. Hom. α 52 (I 21, 13 D.) *Ἡσίοδος δὲ ἐν Θεογονίᾳ φησὶ τὴν Καλυψὼ θυγατέρα Ὠκεανοῦ καὶ Τηθύος* 360 Ioann. Laur. Lyd. de mens. IV 7 p. 70, 16 sq. W. *ὅτι οὐδαμοῦ τῆς Τύχης ὀνόματος Ὅμηρος μέμνηται, Ἡσίοδος μέντοι* 361 sq. Et. gen. et mag. v. *Στύξ· ἡ Στὺξ μία* (*ἐστὶ* Et. mag.) *τῶν Ὠκεανοῦ θυγατρῶν* (*θυγατέρων* Et. mag.) 364 Schol. Pind. Ol. V 1 (II 1, 118 B.) . . . *ὡς Ἡσίοδος 'τρὶς — Ὠκεανίδες'* 367 Apollon. Dysc. de adverb. p. 562, 14 (152, 8 Schn.) *τὰ εἰς* $\overline{\delta\alpha}$ . . . *λήγοντα ἐπιρρήματα ὀξύνεται, ὡς ἔχει τὸ 'καναχηδὰ ῥέοντες'*

---

359 *Χρυσηίς*] Hermann ad Hymn. Hom. Cer. 421 (ed. Hymn. p. 146); *κρησηίς* D, *κρησσηίς* G, *κρυσηίς* HI schol. (249, 28 Fl.) Exegesis (397, 4 Fl.), cf. scriptura ΚΡΙΣΕΙΣ = *Χρυσηίς*? (et ΚΡΙΣΕΥΣ = *Χρυσεύς*?) in patera Hieronis et Macronis (Klein gr. Vas. m. Meisters.[2] 173 Kretschmer d. gr. Vaseninschr. 206 sq.); *κρυσίη* K, *κρισίη* (prius *ι* ex *υ* factum) L, *κρυσίη* (*η* supra *υ*) E, *κρησίη* F; *Κρισσηίς* Naeke ed. Choeril. p. 125; *Κρηνηίς* Goettling ed.[2] 46; an *Κρηθηίς*? 361 *σφέων — ἁπασέων*] *πασάων προφερεστάτη ἐστί* Fick Hes. Ged. 7 *ἁπασέων*] *ἁπασάων* G 362 *αὗται*] *αὐταὶ* (in *αὗται* m[2] mutatum L) Ψ *ἐξεγένοντο*] *ἐξ ἐγένοντο* Fick l. c. 35 363 *γε μὲν*] *δὲ αἳ* Axt, Progr. v. Kreuznach 1860 p. 4 *γε*] additum m[1] D 364 *τρὶς — εἰσι*] Ωc, *τρεῖς γὰρ χίλιαί εἰσι* Ψ, *τρισχίλιαι γὰρ ἔασι* D, *τρισχίλιαι* (*γὰρ* om.) *εἰσι* Ωb, *τρὶς γὰρ μύριαί εἰσι* schol. Pind. (cf. Schoemann Op. II 163 adn. 60) *τανύσφυροι*] Ωbc schol. Pind., *τανύσφυραι* DΨ *Ὠκεανῖναι*] *ὠκεανῖδες* D, *Ὠκεανίδες* schol. Pind. 366 *ἐφέπουσι*] *ἐφέπουσαι* E 368 *Ὠκεανοῦ*] *ὠκεανοῖο* I 369 *βροτὸν ἀνέρ'*] Goettling ed.[2] 47 adn. (de *α* in medio versu longa cf. Op. 751, 364, 559 Scut. 48 Theog. 187 Op. 303, 494, de duplici accus. Hom. *M* 176 *π* 88 *τ* 221); *βροτὸν ἄνδρα* libri, *βροτὸν ἄνδρα γ'* Franke

οἳ δὲ ἕκαστοι ἴσασιν, οἳ ἂν περιναιετάωσιν.
Θεία δ' Ἠέλιόν τε μέγαν λαμπράν τε Σελήνην
Ἠῶ θ', ἣ πάντεσσιν ἐπιχθονίοισι φαείνει
ἀθανάτοις τε θεοῖσι, τοὶ οὐρανὸν εὐρὺν ἔχουσι,
γείναθ' ὑποδμηθεῖσ' Ὑπερίονος ἐν φιλότητι.

---

370 θ 551 καὶ οἳ περιναιετάουσιν* 372 sq. Λ 2 (Ἠὼς) . . . ἵν' ἀθανάτοισι φόως φέροι ἠδὲ βροτοῖσιν 373 δ 479 ἀθανάτοισι θεοῖσι, τοὶ οὐρανὸν εὐρὺν ἔχουσιν

---

371 cf. Pind. Isthm. VI (V) 1 μᾶτερ Ἀελίου πολυώνυμε Θεία 372 Quint. Smyrn. II 423 (cf. 620) ἣ μὲν (Ἠὼς) γὰρ μακάρεσσι καὶ ἀνθρώποισι φαείνει

---

370 Eust. in Dionys. Perieg. 636 (II 336, 1 M.) ὅμοιον δέ φασι τὸ σχῆμα τοῦτο τῷ τοῦ Ἡσιόδου τῷ 'οἳ δὲ — περιναιετάωσιν' 371 sq. 374 Schol. Pind. Ol. VII 72 (II 1, 170 B.) Ὑπερίων δὲ εἷς τῶν Τιτάνων κατὰ τὴν τοῦ Ἡσιόδου Θεογονίαν 'Θεία — φαείνει' 'γείναθ' — φιλότητι' Ammon. de diff. adf. vocab. v. ἡμέρα p. 66 V. Ἠοῦς δὲ τὸ συναμφότερον, ὃν πάλιν Ἡσίοδος Θείας ὑποτίθεται 'Θεία — φαείνει' 'γείνατο'. Eust. Hom. 1527, 57 τὴν δὲ Ἠῶ Θείας ὑποτίθεται (Ἡσίοδος) θυγατέρα εἰπών· 'Θεία — φαείνει' 'γείνατο' 371 sq. Schol. Eurip. Troad. 855 (II 366, 6 Schw.) κατὰ δὲ Ἡσίοδον οὐκ ἔστι ταὐτὸν Ἠὼς καὶ Ἡμέρα· λέγει ⟨γὰρ⟩ ὁτὲ μὲν 'Θεία — Σελήνην ⟨Ἠῶ θ'⟩' 371. 374 Schol. vet. Pind. Isthm. V 1 p. 429, 6 Ab. . ἐκεῖνος (Ἡσίοδος) Ἡλίου μητέρα τὴν Θείαν γενεαλογεῖ· 'Θεία — Σελήνην' 'γείναθ' — φιλότητι' Schol. Eurip. Phoen. 175 (I 273, 23 Schw.) Ἡσίοδός φησιν ἀδελφὴν Ἡλίου τὴν Σελήνην· 'Θεία — Σελήνην' 'γείνατο' Iulian. or. IV p. 136 c (I 176, 15 H.) ὁ μὲν (Ἡσίοδος) γενεαλογῶν αὐτὸν (Ἥλιον) Ὑπερίονος ἔφη καὶ Θείας μόνον οὐχὶ διὰ τούτων αἰνιττόμενος τοῦ πάντων ὑπερέχοντος αὐτὸν ἔγγονον γνήσιον φῦναι Schol. Hom. Townl. Θ 480 (altera manu scripta) VI 520, 29 M. = Et. gen. et mag. v. Ὑπερίων· ὁ ἥλιος· ἤτοι ὅτι Ὑπερίονός ἐστι καὶ Θείας παῖς ὡς Ἡσίοδος Schol. Hom. α 8 (I 12, 30 D.) Ἡσίοδος δὲ Ὑπερίονος αὐτὸν (τὸν Ἥλιον) ἐγενεαλόγησεν cf. Et. Gud. v. Ὑπερίονος· Ἡσίοδος Ὑπερίονος αὐτὸν (τὸν Ἥλιον) γενεαλογεῖ 371 Schol. Laur. Apoll. Rhod. Arg. Δ 54 p. 486, 15 K. Ἥλιος καὶ Σελήνη Ὑπερίονος τοῦ Τιτᾶνος καὶ Θείας εἰσὶ παῖδες, ὡς Ἡσίοδός φησι 'Θεία — Σελήνην' cf. Procl. in Plat. Tim. IV 257 E Schn. τίκτει γὰρ ἡ αὐτὴ θεὸς ἥλιόν τε μέγαν καὶ λαμπρὰν σελήνην

---

ad Callim. p. 104, βροτῷ ἀνδρὶ coll. Op. 484 Flach d. Hes. Theog. 22 ἐνισπεῖν] ἐνίσπειν HIL

370 ἕκαστοι] ἕκαστα Eustathius in Dionys. Perieg. ἴσασιν] ἴσασι F, ἴσασ' D οἳ ἂν περιναιετάωσιν] m[2] L, Eustathius l. c., οἷς ἂν περιναιετάωσι D, οἳ (οἱ E) ἂν περιναιετάουσι ΩbΨ (ου m[2] in ω mutatum L), ὅσοι περιναιετάουσι (περ///ναιετάουσιν I) Ωc, ὅσοι περιναιετάωσιν Triclinius (περναιετάωσι 'Βοιωτιστί' Sittl ed. p. 370) 371 τε] τέκε schol. Apoll. Rhod. τε μέγαν] τέκετο schol. Eurip. Troad., quod in v. 371 desinit verbo γείνατο (374) neglecto, τέκε μέγαν codd. schol. Pind. Isthm. λαμπράν] libri et testes omnes, cf. ad v. 18; λαμπρήν L. Dindorf ed. p. 103 372 Ἠῶ] ἠώ FG, Ἠόα Nauck MGrR. V 134 θ'] ex τ' factum D πάντεσσιν] πάντεσσι I ἐπιχθονίοισι] ἐπιχθονίησι HI 373 in marg. m. rec. iterum scriptum exhibet G ἀθανάτοις] ἀν' ἀθανάτοις in textu, ἀν' ἀθανάτοισι in versu marg. G θεοῖσι] D, θεοῖς ΩbcΨ 374 ὑποδμηθεῖσ'] ὑποδμηθεῖσα ΩbI, ὑποδμηθεῖσ[α] K, ὑπευνηθεῖσ' Aldus ed. Ὑπερίονος ἐν φιλότητι] ὑπερίωνος ἐν φιλότητι Ψ (ο ex ω ras. factum L), ὑπεριώνος φιλότητι D

Κρίῳ δ' Εὐρυβίη τέκεν ἐν φιλότητι μιγεῖσα
Ἀστραῖόν τε μέγαν Πάλλαντά τε δῖα θεάων
Πέρσην θ', ὃς καὶ πᾶσι μετέπρεπεν ἰδμοσύνῃσιν.
Ἀστραίῳ δ' Ἠὼς ἀνέμους τέκε καρτεροθύμους,
ἀργέστην Ζέφυρον Βορέην τ' αἰψηροκέλευθον
καὶ Νότον, ἐν φιλότητι θεὰ θεῷ εὐνηθεῖσα.
τοὺς δὲ μετ' ἀστέρα τίκτ' Ἠοσφόρον Ἠριγένεια
ἄστρα τε λαμπετόωντα, τά τ' οὐρανὸς ἐστεφάνωται.
Στὺξ δ' ἔτεκ' Ὠκεανοῦ θυγάτηρ Πάλλαντι μιγεῖσα

---

376 *E* 381 *δῖα θεάων** 377 cf. *Π* 194 *ὃς πᾶσι μετέπρεπε Μυρμιδόνεσσιν** 380 *B* 821 *θεὰ βροτῷ εὐνηθεῖσα** *Π* 176 *γυνὴ θεῷ εὐνηθεῖσα** 382 *Σ* 485 *τά τ' οὐρανὸς ἐστεφάνωται**

---

379 Incert. poeta ap. Apollod. III 4, 6 p. 116, 6 W. *Βορῆς* (Actaeonis canis) *τ' αἰψηροκέλευθος** 381 sq. Arat. 98 sq. *εἴτ' οὖν Ἀστραίου κείνη γένος, ὅν ῥά τέ φασιν | ἄστρων ἀρχαῖον πατέρ' ἔμμεναι* 382 cf. ad 110

---

378 Serv. in Vergil. Aen. I 132 (I 58, 11 Th.-H.) cf. Mythogr. II 51 p. 92 B. *Astraeus enim unus e Titanibus, qui contra deos arma sumpserunt cum Aurora concubuit, unde nati sunt venti secundum Hesiodum* Suid. v. *Θείας ἀμνάμων* I b 1178 B. . . . *ὡς γὰρ Ἡσίοδος λέγει τῆς Θείας ἀπόγονοι οἱ ἄνεμοι* 379 sq. Schol. Hom. Townl. *Λ* 306 (V 396, 24 M.) *καὶ Ἡσίοδος γὰρ 'ἀργέστην — Νότον'* 383 Pausan. VIII 18, 1 . . *πεποιημένα οὖν ἐστιν ἐνταῦθα* (sc. *ἐν τῇ Ἡσιόδου Θεογονίᾳ*) *Ὠκεανοῦ θυγατέρα τὴν Στύγα, γυναῖκα δὲ αὐτὴν εἶναι Πάλλαντος*

---

375 *Κρίῳ*] GH, *κρείῳ* ex *κρίῳ* factum I, *κριῶ* D, *κρείῳ* ΩbΨ scholion (250 Fl.) Ioannes Diac. (324 Fl.) Exegesis (397 Fl.) *δ'*] *τ'* H 377 *θ'*] *τ'* I, om. F *καὶ πᾶσι*] ΩbcΨ Ioannes Diac. (324 Fl.), cf. Wien. St. XIX 34; ///*πασησι* (*καὶ* eraso e *πᾶσι* factum) D, *πάσαισι* Triclinius (*πάσῃσι* vel *πάντεσσι* dubitans Wolf ed. 101); *Τιτῆσι* Wieseler Ind. schol. Georg. Aug. aest. 1872 p. 4 *μετέπρεπε*] *μέγ' ἔπρεπεν* Meineke Herm. I 328 378 *καρτεροθύμους*] *καρτερόθυμος* (*αρ* in ras., fuit *ρα*) m. alia superscr. *γρ. καρτεροθύμους* L, *κρατεροθύμους* K 379 *ἀργέστην Ζέφυρον*] cf. schol. 251, 6 Fl. *Ἀκουσίλαος δὲ τρεῖς ἀνέμους εἶναί φησι κατὰ Ἡσίοδον Βορᾶν Ζέφυρον καὶ Νότον· τοῦ γὰρ Ζεφύρου ἐπίθετον τὸ ἀργέστην φησί. ζητητέον γὰρ ὅτι χωρὶς συνδέσμου Ἀργέστην Ζέφυρον εἶπε* . .; *Ἀργέστην Ζέφυρον* schol. 251, 1 Fl. *Ἀργέστην τὸν ὀξὺν καὶ ταχὺν καὶ καθαρὸν Εὖρον Ἀργέστην εἶπεν· . . πνεῖ δὲ Ἀργέστης, ὁ καὶ Εὖρος καλούμενος ἀπὸ ἀνατολῆς* . .; *Ἀργέστην Ζέφυρόν τε* Goettling ed.[2] 47 adn. *τ' αἰψηροκέλευθον*] *τ'* om. Ψ, *ἔαιψηροκέλευθον* (*ε* m. alia superscr.) H, *τε λαιψηροκέλευθον* I 380 *θεὰ θεῷ*] *θεῷ θεὰ* D; sed cf. Hom. *B* 821 *θεὰ βροτῷ εὐνηθεῖσα* *Π* 176 *γυνὴ θεῷ εὐνηθεῖσα* Hes. Theog. 634 *Ῥείη Κρόνῳ εὐνηθεῖσα* Scut. 6 *θνηταὶ θνητοῖς τέκον εὐνηθεῖσαι* 381 m. rec. iterum scriptus in marg. G (om. voce ultima) *ἀστέρα τίκτ' Ἠοσφόρον*] restitui Wien. St. V 185, *ἀστέρα τίκτεν* (*τίκτε* G) *ἑωσφόρον* ΩbcΨ schol.; *ἀστραίω τέχ'* (*χ* e *κ* factum m[1]) *ἑωσφόρος* D; *ἀστέρα τίκτε Φωσφόρον* olim conieci ZfdöG. 1877 p. 102 *Ἠριγένεια*] *ἠριγένια* G 383 *ἔτεκ'*] codd. recensionis x (*ἔτεκεκ'* cod. Laurent. LXXXXI sup. 10), *ἔτεκεν* ΩΨ, *αὖτ'* (interpunctionis signo post 384 sublato) Hermann Op. VIII 56 *Ὠκεανοῦ θυγάτηρ*] Ωbc, *ὠκεανοῦ θυγάτηρ* (sed *ηρ* m[2] in ras., fuit *έρα*) L, *ὠκεανοῦ θυγατέρα* K, *παῖς ὠκεανοῦ* D

Ζῆλον καὶ Νίκην καλλίσφυρον ἐν μεγάροισιν·
καὶ Κράτος ἠδὲ Βίην ἀριδείκετα γείνατο τέκνα,
τῶν οὐκ ἔστ' ἀπάνευθε Διὸς δόμος, οὐδέ τις ἕδρη,
οὐδ' ὁδός, ὅππη μὴ κείνοις θεὸς ἡγεμονεύῃ,
ἀλλ' αἰεὶ πὰρ Ζηνὶ βαρυκτύπῳ ἑδριόωνται.
ὣς γὰρ ἐβούλευσεν Στὺξ ἄφθιτος Ὠκεανίνη
ἤματι τῷ, ὅτε πάντας Ὀλύμπιος ἀστεροπητὴς
ἀθανάτους ἐκάλεσσε θεοὺς ἐς μακρὸν Ὄλυμπον,
εἶπε δ', ὃς ἂν μετὰ εἷο θεῶν Τιτῆσι μάχοιτο,
μή τιν' ἀπορραίσειν γεράων, τιμὴν δὲ ἕκαστον
ἑξέμεν, ἣν τὸ πάρος γε μετ' ἀθανάτοισι θεοῖσιν.
τὸν δ' ἔφαθ', ὅς τις ἄτιμος ὑπὸ Κρόνου ἠδ' ἀγέραστος,
τιμῆς καὶ γεράων ἐπιβησέμεν, ἣ θέμις ἐστίν.
ἦλθε δ' ἄρα πρώτη Στὺξ ἄφθιτος Οὔλυμπόνδε
σὺν σφοῖσιν παίδεσσι φίλου διὰ μήδεα πατρός.

---

390 *Α* 580 *Ὀλύμπιος ἀστεροπήτης** 391 *Α* 402 *καλέσασ' ἐς μακρὸν Ὄλυμπον* cf. *Υ* 4 sq. 394 *Φ* 500 *μετ' ἀθανάτοισι θεοῖσιν** 396 *Β* 73 *ἣ θέμις ἐστίν**

---

385. 388 cf. Callim. Hymn. Iov. 67 *σή τε βίη τό τε κάρτος* 386 Fragm. Orph. 52 Ab. *οὐδέ τις ἕδρη** 388 cf. Hymn. Hom. Cer. 3, 334, 441, 460 *βαρύκτυπος εὐρύοπα Ζεύς* Semonid. Am. Fr. 1, 1 B.[4] *Ζεὺς . . . βαρύκτυπος*

389—400 cf. Schol. Hom. Genav. *Τ* 113 (II 179, 1 N.), ubi additur: *ἡ ἱστορία παρ' Ἡσιόδῳ ἐν Θεογονίᾳ* 397—400 Tzetz. in Lycophr. 707 (II 752 M.) *Ὅρκον γὰρ τῶν θεῶν μυθικῶς ὁ Ζεὺς ἐποίησε τὴν Στύγα, διότι πρώτη τῶν λοιπῶν θεῶν σὺν τοῖς ἰδίοις παισὶν εἰς τὴν κατὰ Τιτάνων μάχην ἦλθε συνεργὸς τῷ Διί, ὥς φησιν Ἡσίοδος ἐν τῇ Θεογονίᾳ*

---

384 *Νίκην*] *νείκην* DGHΨ *καλλίσφυρον*] *πολύσφυρον* GH, superscr. *καλλίσφυρον* I 385 *τῶν*] *τῶν δ'* ('in principio strophae') Hermann Op. VIII 56 386—403 serioris cuiusdam rhapsodi esse existimavit Goettling ed.[2] 49 386 *ἔστ'*] *ἔστιν* G *ἀπάνευθε*] *ἀπάνευθεν* H 387 in marg. habet E *ὅππη*] *ὅπη* Ωc (alterum *π* m. rec. add. in I) *μὴ κείνοις*] *μ' ἐκοινοις* m. eadem in *μὴ κείνοις* mutatum E, *μὴ κεῖνος* (superscr. m. alia *οις* L) Ψ, *μὴ κεῖνοις* (alterum *ι* postea add.) H *ἡγεμονεύῃ*] cod. Laurent. conv. suppr. 15 saec. XV (coniecit Hermann Op. VI 174), *ἡγεμονεύει* ΩΨ, *ἡγεμονεύοι* Guyet Not. in Hes. 176 389 *Ὠκεανίνη*] *ὠκεανίη* L 391 *ἐκάλεσσε*] *ἐκάλεσε* FΩcL 392 *ὃς ἂν*] *ὅ κεν* Menrad Phil. Anz. 1887 p. 431 *ἂν*] *ἐν* D *μάχοιτο*] *μάχηται* Hermann Op. VIII 56 393 *τιν'*] *τὸν* Scheer Rh. Mus. XXIV 623; an *μιν*? *ἀπορραίσειν*] *ἀποραίσειν* G; sub quo *ἀπορρήσειν* (*ἀποϝρήσειν*) delitescere censuit Schulze Quaest. ep. 87 adn. 1 *δὲ*] *δ'* DGIL, *θ'* Ωb, om. K 394 *ἣν*] *ὡς*? Hermann ap. Franke Hymn. Hom. p. 94 *τὸ πάρος γε μετ'*] *γε* om. Ωb, *τὸ πάρος περ ἐν* Hermann l. c., *πάρος ἔσχε μετ'* Bergk Phil. XVI 582 395 *τὸν δ' ἔφαθ'*] *γρ. τὸν δ' ἔφα* in marg. EL 396 *ἡ*] (vel *ἥ*) libri, *ἣ* edd. plurimae 397 *ἄφθιτος*] *ν* m. rec. superscr. I, *ἄφθιτον* Triclinius *Οὔλυμπόνδε*] *Ὄλυμπόνδε* Sittl ed. p. 126 398 *σφοῖσιν*] *οι* ex *η* m[1] factum D, *σφισιν* superscr. *οι* E, *σφίσι* FG *παίδεσσι*] *παίδεσι* F

τὴν δὲ Ζεὺς τίμησε, περισσὰ δὲ δῶρα ἔδωκεν.
αὐτὴν μὲν γὰρ ἔθηκε θεῶν μέγαν ἔμμεναι ὅρκον,
παῖδας δ' ἤματα πάντα ἕο μετα ναιέτας εἶναι.
ὣς δ' αὔτως πάντεσσι διαμπερές, ὥς περ ὑπέστη,
ἐξετέλεσσ'· αὐτὸς δὲ μέγα κρατεῖ ἠδὲ ἀνάσσει.
Φοίβη δ' αὖ Κοίου πολυήρατον ἦλθεν ἐς εὐνήν·
κυσαμένη δὴ ἔπειτα θεὰ θεοῦ ἐν φιλότητι
Λητὼ κυανόπεπλον ἐγείνατο, μείλιχον αἰεί,

---

400 β 377 θεῶν μέγαν ὅρκον, cf. ad 805 401 Ν 826 ἤματα πάντα* 402 ι 365 ὥς περ ὑπέστης* 403 Π 172 αὐτὸς δὲ μέγα κρατέων ἐάνασσεν 404 ψ 354 πολυήρατον ἱκόμεθ' εὐνήν* 405 cf. ad 306 406 Τ 300 μείλιχον αἰεί*

---

399 Theogn. 1386 sq. σοί τι περισσὸν | Ζεὺς τόδε τιμήσας (τιμῆεν Nauck) δῶρον ἔδωκεν ἔχειν 400 cf. Pind. Ol. VII 65 θεῶν δ' ὅρκον μέγαν 406 Hymn. Orph. 35, 1 Ab. Λητοῖ κυανόπεπλε*

---

399 sq. Schol. Hom. Ven. A Θ 369 (I 287, 15 D.) Et. gen. et mag. v. Στύξ· (ἡ Et. mag.) Στὺξ μία (ἐστὶ Et. mag.) τῶν Ὠκεανοῦ θυγατέρων (θυγατρῶν Et. gen. cod. B), ἣν ὁ Ζεὺς φρικωδέστατον ὅρκον τῶν θεῶν ἐποίησε τιμήσας αὐτήν, ὥς φησιν Ἡσίοδος ἐν Θεογονίᾳ (ἐν Θ. om. Et. gen. cod. B) cf. Anecd. Par. III 25. 16 Cr. οἱ περὶ Κρόνον οὐρανοῦ παῖδες ἀρχαῖοι Τιτᾶνες . . . ἀξιοῦσιν . . . τιμῆσαι τὴν Στύγα καὶ τὸ τῆς Στυγὸς ὕδωρ ὅρκον θεῶν ποιῆσαι. ἡ ἱστορία παρὰ Ἡσιόδῳ ἐν Θεογονίᾳ 400 Schol. Pind. Ol. VII 119 θεῶν ὅρκον τὴν Στύγα· ταύτην γὰρ καὶ Ὅμηρος καὶ Ἡσίοδος εἶπε καὶ οἶδε 404 Schol. Hom. Ven. B Α 43 (III 11, 11 D.) (v. Epim. Hom. Anecd. Ox. I 428, 26 Cr.) Et. mag. v. Φοῖβος Ἀπόλλων . . . ἢ ἀπὸ Φοίβης μαμμωνυμικόν (μαμμωνυμικοῦ Epim., μαμμωνυμικῶς Et. mag.) ὡς καὶ Ἡσίοδος

---

399 περισσὰ — ἔδωκεν] Aldus ed., περισσὰ δὲ δῶρά ϝ' (= ϝοι) ἔδωκεν primitus scriptum fuisse exposui Wien. St. XVI 221, idem vidit v. Leeuwen Enchir. dict. ep. 71; περισσὰ δὲ δῶρα δέδωκεν DEHIΨ, περισσὰ δῶρα δ' ἔδωκεν FG, ἔδωκε δὲ δῶρα περισσὰ Bergk Phil. XVI 582, περισσὰ δὲ δῶρ' ἀπέδωκεν Scheer Rh. Mus. XXIV 623; aut τῇ δὲ περισσὸν Ζεὺς τιμήσας δῶρον ἔδωκεν (e Theognide) aut περισσὰ δὲ δῶρον ἔδωκεν scribendum esse existimavit Peppmüller Phil. Rundsch. V (1885) c. 398 400 μὲν γὰρ] μὲν m. eadem superscr. H, δ' ἄρ' G 401 ἕο μετα ναιέτας] ἕο Brugmann e. Probl. d. hom. Textkr. 20; cf. Wien. St. V 185 sq.; ἑοῦ μετα ναιέτας in textu Ψ, γρ. ἑοὺς μεταναιέτας in marg. L, ἑοῦ μεταναιέτας DG (ἑοῦ = ἕο Zenodotus in Hom. Β 239 Τ 384 et e Duentzeri coniectura η 217, cf. Ludwich Arist. Hom. Textkr. I 210, 448, 566), ἑοῦς μεταναιέτας HI; ἑοὺς μεταναιέτας Ωb, ἑοῖ (μεταναιέτας) Hermann Op. VI 174 402 sq. additamentum interpolatoris esse censuit Hermann Op. VIII 56 402 ὣς δ' αὔτως] ὡς δ' αὔτως G, ὡσαύτως K, ὡδ' αὔτως e corr. (fuisse videtur ὡσαύτως) L, ὃς δ' αὔτως Clericus ed. p. 70 403 ἐξετέλεσσ'] ἐξετέλεσσεν G, ἐξετέλεσεν HI ἠδὲ] ἠδ' Ωc 404 ἐς] εἰς ΩbΨ 405 κυσαμένη] κισσαμένη DI, κυσσαμένη codd. ceteri δὴ ἔπειτα] L. Dindorf ed. p. 39, δ' ἠέπειτα HI, δή 'πειτα G, δ' ἤπειτα DΩbΨ θεὰ θεοῦ] θεὰ θεῷ FG, θεὰ θεῶν HI 406 Λητὼ] Λητόα Nauck MGrR. V 134 μείλιχον αἰεὶ] μειλίχιον αἰεὶ G, καλλιπάρηον coll. Hom. Ω 607 dubitans Fick Hes. Ged. 16

μείλιχον ἐξ ἀρχῆς, ἀγανώτατον ἐντὸς Ὀλύμπου, 408
ἤπιον ἀνθρώποισι καὶ ἀθανάτοισι θεοῖσιν. 407
γείνατο δ' Ἀστερίην ἐυώνυμον, ἥν ποτε Πέρσης
ἠγάγετ' ἐς μέγα δῶμα φίλην κεκλῆσθαι ἄκοιτιν.

ἡ δ' ὑποκυσαμένη Ἑκάτην τέκε, τὴν περὶ πάντων
Ζεὺς Κρονίδης τίμησε· πόρεν δέ οἱ ἀγλαὰ δῶρα,
μοῖραν ἔχειν γαίης τε καὶ ἀτρυγέτοιο θαλάσσης.
ἡ δὲ καὶ ἀστερόεντος ἀπ' οὐρανοῦ ἔμμορε τιμῆς
ἀθανάτοις τε θεοῖσι τετιμένη ἐστὶ μάλιστα.

---

407 π 265 ἀνδράσι τε ... καὶ ἀθανάτοισι θεοῖσιν 410 Γ 138 φίλη κεκλήσῃ ἄκοιτις* 411 λ 254 ἡ δ' ὑποκυσαμένη Πελίην τέκε* 412 Λ 289 Ζεὺς Κρονίδης* π 230 ἔπορον δέ μοι ἀγλαὰ δῶρα* 413 Ξ 204 γαίης .. καὶ ἀτρυγέτοιο θαλάσσης 414 Τ 130 ἀπ' οὐρανοῦ ἀστερόεντος Δ 278 ἔμμορε τιμῆς* 415 Ο 85 ἀθανάτοισι θεοῖσι* Ω 533 θεοῖσι τετιμένος*

---

407 Hymn. Hom. Ven. 142 τίμιον ἀνθρώποισι καὶ ἀθανάτοισι θεοῖσιν Arat. 5 ἤπιος ἀνθρώποισι 409. 411 Apoll. Rhod. Arg. Γ 1035 Ἑκάτην Περσηΐδα

409—411 Serv. in Vergil. Aen. IV 511 (I 557, 5 Th.-H.) *secundum Hesiodum Hecate Persei Titanis et Asteriae filia est* Schol. Hom. κ 139 (II 457, 27 D.) Ἡσίοδος δὲ καὶ τὴν Ἑκάτην Περσηίδα λέγει Schol. vet. Lycophr. 1175 p. 175, 3 K. Περσέως δὲ παρθένος] ἡ Ἑκάτη· ὁ γὰρ Ἡσίοδος Πέρσου καὶ Ἀστερίας γενεαλογεῖ αὐτήν Eust. Hom. 1651, 54 ... τὴν Ἑκάτην Ἡσίοδος Περσηίδα καλεῖ ... 413 Schol. Eurip. Hipp. 146 (II 24, 15 Schw.) τινὲς δὲ τὴν αὐτὴν (Δίκτυνναν) εἶναι τῇ Ἑκάτῃ, περὶ ἧς φησιν Ἡσίοδος 'μοῖραν ἔχει — θαλάσσης' ibid. 228 (II 34, 5 Schw.) τῆς δὲ θαλάττης φησὶν αὐτὴν δεσπόζειν, ὡς καὶ Ἡσίοδος 'μοῖραν ἔχει — θαλάσσης'

---

408 ante 407 collocavi; spurium esse putavit Guyet Not. in Hes. 177; pro 407 ab alio (fortasse antiquiore) poeta positum esse suspicatus est Hermann Op. VII 296 408 μείλιχον] ἵλαον? traditum versuum ordinem servans Schoemann d. Hes. Theog. 56 ἀγανώτατον] ἀγανότατον G (de adiectivi forma cf. Hom. δ 442 ὀλοώτατος ὀδμή, Hymn. Hom. Cer. 157 κατὰ πρώτιστον ὀπωπήν) ἐντὸς] ἄνθος Koechly Op. I 269 sq. 407 ἤπιον] μείλιχον eiecto v. 408 Paley ed.[1] p. 199; versibus 407 sq. e mea sententia transpositis τίμιον (ex Hymn. Hom. Ven. 142) Peppmüller Rh. Mus. XL 463, sed cf. Aratus 409 Ἀστερίην] ἀστεραίην G Πέρσης] περσεὺς D 410 ἠγάγετ'] ἤγαγ' I μέγα] om. Ωb 411—452 hymnus in Hecaten recentioris aetatis; v. 411—415 Theogoniae adscripsit, ceteros hymni versus pristina forma mutata insertos esse exposuit Gerhard Verh. d. Berl. Akad. 1851 p. 292; initio et conclusione hymni abiectis 411 (412)—415 et 450—452 de suo addidisse interpolatorem dixit A. Meyer de comp. Theog. Hes. 28 411 ὑποκυσαμένη] ὑποκισσαμένη D 412 πόρεν] πόρε^ν (ν m. alia superscr.) L 413 ἔχειν] ἔχει constructione gramm. mutata Schol. Eurip. utroque loco 414 ἡ δὲ] ἠδὲ D ἀπ'] ἐπ' coll. v. 427 Goettling ed.[1] 42, sed cf. Schoemann Op. II 216 d. Hes. Theog. 56, ὑπ' Aldus ed. 415 τε] δὲ Paley ed.[1] p. 199 adn. (recepto ὑπ') θεοῖσι τετιμένη] FΨ, θεοῖσι τετιημένη E, θεοῖς τετιμημένη Ωc, θεοῖς τετι///ημένη (μ erasum) D

καὶ γάρ νῦν, ὅτε πού τις ἐπιχθονίων ἀνθρώπων
ἔρδων ἱερὰ καλὰ κατὰ νόμον ἱλάσκηται,
κικλήσκει Ἑκάτην· πολλή τέ οἱ ἕσπετο τιμὴ
ῥεῖα μάλ', ᾧ πρόφρων γε θεὰ ὑποδέξεται εὐχάς,
καί τέ οἱ ὄλβον ὀπάζει, ἐπεὶ δύναμίς γε πάρεστιν.
ὅσσοι γὰρ Γαίης τε καὶ Οὐρανοῦ ἐξεγένοντο
καὶ τιμὴν ἔλαχον, τούτων ἔχει αἶσαν ἁπάντων.
οὐδέ τί μιν Κρονίδης ἐβιήσατο, οὐδέ τ' ἀπηύρα,
ὅσσ' ἔλαχεν Τιτῆσι μετὰ προτέροισι θεοῖσιν,
ἀλλ' ἔχει, ὡς τὸ πρῶτον ἀπ' ἀρχῆς ἔπλετο δασμός,
καὶ γέρας ἐν γαίῃ τε καὶ οὐρανῷ ἠδὲ θαλάσσῃ· 427
οὐδ', ὅτι μουνογενής, ἧσσον θεὰ ἔμμορε τιμῆς, 426
ἀλλ' ἔτι καὶ πολὺ μᾶλλον, ἐπεὶ Ζεὺς τίεται αὐτήν. 428

---

416 α 167 *τις ἐπιχθονίων ἀνθρώπων** 417 λ 130 *ῥέξας ἱερὰ καλά** 420 Θ 294 *ὅση δύναμίς γε πάρεστιν** 426 cf. ad 414 428 Ψ 429 *ἔτι καὶ πολὺ μᾶλλον*

---

420 cf. Rhian. Fr. 3, 9 (Anal. Alex. 199 M.) *θεὸς δ' ἐπὶ ὄλβον ὀπάζῃ* 424 cf. Antim. Theb. Fr. 42 K. *προτερηγενέας τε Τιτῆνας* Babr. 66, 1 *θεῶν Προμηθεὺς ἦν τις ἀλλὰ τῶν πρώτων* 425 Parmen. Fr. 8, 15 D. *ἀλλ' ἔχει** 426 Apoll. Rhod. Arg. Γ 1035 *μουνογενῆ δ' Ἑκάτην* idem Γ 846 *κούρην μουνογένειαν*

---

421 cf. ad 45 426 Schol. Laur. Apoll. Rhod. Γ 1035 p. 474, 16 K. *Ἡσίοδος 'οὐδ' — τιμῆς'*

416—420 post 413 collocandos esse suspicatur Paley ed.[1] 199 416 *καὶ γὰρ*] *τοίγαρ* Schoemann Op. II 217 417 *ἔρδων*] *ῥέζων* Triclinius *κατὰ νόμον*] alterum *ν* superscr. in D 418 *τέ*] *δέ* Koechly Op. I 279 *ἕσπετο*] Triclinius, *ἕσπεται* DΩbGΨ, *ἕπεται* HI 419 *ᾧ*] *οὗ* Ψ, *ᾧ* ex *οὗ* corr. I *ὑποδέξεται*] *ξ* e *χ* factum D, *ὑπεδέξατο*, in marg. *γρ. ὑποδέξεται* E, *ὑποδέξατο* I 420 *καί τε*] *καὶ δέ* Koechly Op. I 279 *ὀπάζει*] *ὄπασσεν* Koechly l. c. 421 sq. otiosi videntur Heynio Comm. soc. scient. Gotting. II 146 adn. r, si cum v. 414 sq. comparentur 422 *ἔχει*] *ἔχειν* K, *ἔχει* m. alia addito *ν* L, *ἔχεν* Koechly l. c. 423 *μιν*] *μὴν* F *ἐβιήσατο*] *ἐβιάσατο* Ψ *ἀπηύρα*] *ἀπεύρα* commendavit Ahrens Kl. Schr. I 20 et 544 424 *ὅσσ' ἔλαχεν*] *ὅσσ' ἔλαχε* Ωb, in marg. additum *γρ. ὅσσ' ἔχε* E 425 *ἔχει*] *ἔχειν* Ωb *ὡς*] om. K *τὸ πρῶτον*] (*τοπρῶτον* L), *τὸ πρὶν* Ωb *ἀπ'*] *ἐξ* Ψ 427 post 425 collocari iussit Goettling ed.[1] 43 (cf. Peppmüller Rh. Mus. XL p. 464), quem secutus sum; quo facto *καὶ γέρα* vel *ὂν γέρας* flagitavit Hermann Op. VI 174; fortasse vero alia in recensione illum v. 413 loco positum fuisse; ab aliquo interprete in margine ad v. 425 additum fuisse (*ὂν γέρας* scripto) dixit Op. VIII 57; post 422 transposuit Schoemann Op. II 219; in margine imo collocavit idem Hes. Carm. 116 (adiecta nota 'rectius legeretur post 422'); insiticium esse censuit Heyne l. c., ab interpolatore, qui 411—415 scripsisset, clam importatum A. Meyer de comp. Theog. Hes. 26 sq.; traditum versuum ordinem retinentes *καὶ γεράων γαίῃ* Lennep ed. p. 280, *καὶ γεράων ἐν γῇ* Schoemann Op. II 219, *καὶ γέραος γαίῃ* Sittl ed. p. 445 *ἐν*] om. G 428 *Ζεὺς τίεται*] libri, *καὶ Ζεὺς τίεν* Koechly Op. I 279

ᾧ δ' ἐθέλει, μεγάλως παραγίγνεται ἠδ' ὀνίνησιν·
ἔν τε δίκῃ βασιλεῦσι παρ' αἰδοίοισι καθίζει, 434
ἔν τ' ἀγορῇ λαοῖσι μεταπρέπει, ὅν κ' ἐθέλῃσιν· 430
ἠδ' ὁπότ' ἐς πόλεμον φθεισήνορα θωρήσσωνται
ἀνέρες, ἔνθα θεὰ παραγίγνεται, οἷς κ' ἐθέλῃσι
νίκην προφρονέως ὀπάσαι καὶ κῦδος ὀρέξαι. 433
ἐσθλὴ δ' αὖθ', ὁπότ' ἄνδρες ἀεθλεύωσιν ἀγῶνι, 435
ἔνθα θεὰ καὶ τοῖς παραγίγνεται ἠδ' ὀνίνησιν·
νικήσας δὲ βίῃ καὶ κάρτεϊ καλὸν ἄεθλον
ῥεῖα φέρει χαίρων τε, τοκεῦσι δὲ κῦδος ὀπάζει.
ἐσθλὴ δ' ἱππήεσσι παρεστάμεν, οἷς κ' ἐθέλῃσιν.

---

430 κ 22 ὅν κ' ἐθέλῃσιν* 431 Κ 78 ὅτ' ἐς πόλεμον φθεισήνορα θωρήσσοιτο* 433 Λ 79 κῦδος ὀρέξαι* 437 ν 143 βίῃ καὶ κάρτεϊ 438 Θ 141 κῦδος ὀπάζει* 439 cf. ad 430

---

432 Theogn. 139 οὐδέ τῳ ἀνθρώπων παραγίνεται, ὅσσ' ἐθέλῃσιν 435 cf. Mus. de Her. et Leand. 197 ἔρωτος ἀεθλεύσειεν ἀγῶνα*

---

429 Et. gen. v. μεγάλως· Ἡσίοδος· 'ᾧ δ' — ὀνίνησι' Et. Gr. Anecd. Paris. IV 11, 32 Cr. Ἡσίοδος 'ὡς — παραγίνεται'

---

429 ᾧ δ'] ὡς δ' Anecd. Par. ἐθέλει] DΩbGΨ, ἐθέλῃ HI μεγάλως] 'potius κρατερῶς aut πρόφρων aut simile quid' Schoemann Op. II 221; λιπαρῶς e scholio (254, 21 Fl.) Koechly Op. I 279 παραγίγνεται] παραγίνεται Ωbc Et. gen. Et. gr. (Anecd. Par.) ἠδ'] καὶ Et. gen. 434 post 429 posuit Schoemann Op. II 221 τε] δὲ Ψ 430 ἔν τ'] ἐν δ' Muetzell de em. Theog. Hes. 78 μεταπρέπει] μετατρέπει DG ὅν] ᾧ K, ὅν in ras. (fuit ᾧ) L, ὧν Heinsius ed. (1603) 264 431 sq. in textu om. HΨ, m. alia in marg. scriptos exhibent HL 431 ἠδ' ὁπότ'] (ἠδ' GI) DΩc (L in versu marg.), ἢν (ἢ/// E) δέ ποτ' Ωb, ἠδ' ὅταν Triclinius, οἳ δ' ὁπότ' Scheer Rh. Mus. XXIV 623 φθεισήνορα] φθησήνορα HI, φθισήνορα libri cett. θωρήσσωνται] D, θωρήσσονται ΩcL, θωρήσσοιντο Ωb 432 παραγίγνεται] D, παραγίνεται ΩcL, παραγίνεθ' Ωb κ' ἐθέλῃσι] κε θέλῃσιν F 433 προφρονέως] προφρονέουσ D 435—438 suspicionem dant Paleio ed.[1] 201 435 δ' αὖθ'] HI, δ' αὖ DΩbGK, δ' αὖθ', θ' m. alia add. L ἀεθλεύωσιν ἀγῶνι] Koechly Op. I 280 v. Musaeus (cf. Hom. Ψ 737 ἀεθλεύωσιν Ἀχαιοί Ψ 274 ἀεθλεύοιμεν Ἀχαιοί); ἀγῶνι ἀεθλεύωσιν (ἀεθλεῦσιν G) DΩc, ἀγῶνι ἀθλεύωσιν (superscr. ε m. alia L) Ψ, ἐν ἀγῶνι ἀθλεύωσι (superscr. ου E) Ωb, ἀγῶσιν (vel ἀγῶνας) ἀεθλεύωσιν Paley ed.[1] p. 200 adn. 436 eliminandum esse censuit Ruhnken Epist. crit. post Hymn. in Cer. p. 150 τοῖς παραγίγνεται] τοῖσι παρίσταται dubitans Paley ed.[1] 201 τοῖς] Ωc, τοῖσ m[2] addito ι E, τοῖσι DFΨ παραγίγνεται] D, παραγίνεται libri cet. Et. 437 δὲ] τε Ψ 438 χαίρων — δὲ] παισίν τε τοκεῦσί τε Gerhard Lect. Apoll. 155 χαίρων] om. in textu E, qui in marg. habet γρ. χαίρει (postea lineola rubra deletum) τε, τοκεῦσι δὲ] τε τοκεῦσί τε FGH, τε τοκεῦσιν Triclinius (cf. schol. 255, 3 Fl.), τοκέεσσι δὲ Koechly Op. I 280 439] secludendum esse censuit Peppmüller Phil. XXXIX 388 ἐθέλῃσιν] ἐθελήσῃ I

καὶ τοῖς, οἳ γλαυκὴν δυσπέμφελον ἐργάζονται,
εὔχονται δ' Ἑκάτῃ καὶ ἐρικτύπῳ Ἐννοσιγαίῳ,
ῥηιδίως ἄγρην κυδρὴ θεὸς ὤπασε πολλήν,
ῥεῖα δ' ἀφείλετο φαινομένην, ἐθέλουσά γε θυμῷ.
ἐσθλὴ δ' ἐν σταθμοῖσι σὺν Ἑρμῇ ληίδ' ἀέξειν·
βουκολίας δ' ἀγέλας τε καὶ αἰπόλια πλατέ' αἰγῶν
ποίμνας τ' εἰροπόκων ὀίων, θυμῷ γ' ἐθέλουσα,
ἐξ ὀλίγων βριάει κἀκ πολλῶν μείονα θῆκεν.
οὕτω τοι καὶ μουνογενὴς ἐκ μητρὸς ἐοῦσα
πᾶσι μετ' ἀθανάτοισι τετίμηται γεράεσσιν.
θῆκε δέ μιν Κρονίδης κουροτρόφον, οἳ μετ' ἐκείνην

---

445 *Λ* 678 *αἰπόλια πλατέ' αἰγῶν** 446 *ι* 443 *εἰροπόκων ὀίων**

---

445 sq. Maxim. 520 sq. . . *εἴ κεν ἄγοις ἑτέρην χώρην ἐριαχθέα ποίμνην | ἠδ' ἀγέλας καὶ δ' ἄν κε καὶ αἰπόλια πλατέ' αἰγῶν | ὦκα θέοι* 450 cf. Apoll. Rhod. Arg. *Γ* 861 *Βριμὼ κουροτρόφον* Hymn. Orph. I 8 (*Ἑκάτην*) *κουροτρόφον**

---

440 Schol. Hom. Ven. A *Π* 748 (II 120, 4 D.) *καὶ Ἡσίοδος δὲ ἐπὶ τῆς θαλάσσης τέταχε 'καὶ — ἐργάζονται'* Schol. eadem Hom. *Π* 34 (II 92, 14 D.) *ὁ δὲ Ἡσίοδος καὶ χωρὶς τοῦ θάλασσά φησι· 'καὶ — δυσπέμφελον'* Schol. Hom. Townl. Ven. B *Π* 34 (VI 158, 7 M. et IV 109, 3 D.) *γλαυκὴν δὲ ἅπαξ εἰπόντος αὐτὴν* (*τὴν θάλασσαν*) *Ὁμήρου Ἡσίοδος ἀντὶ κυρίου 'καὶ τοῖς, οἳ γλαυκήν'* (*ἀντὶ κυρίου αὐτὸ ἐξέβαλεν* Schol. Ven. B)

---

440 *γλαυκὴν*] *Γλαύκην*? Goettling ed.[1] 43, sed cf. schol. (255 Fl.) *ὅτι ἀρκεσθεὶς τοῖς δυσὶν ἐπιθέτοις, ἤγουν τῷ 'γλαυκὴν' καὶ τῷ 'δυσπέμφελον', οὐκ εἶπε τὸ κύριον* (v. Hom. *Κ* 27 *δ* 709 *πουλὺν ἐφ' ὑγρήν* Oppian. Cyn. I 11 *πᾶσαν δὲ καὶ ὑγρήν* Eurip. Andr. 793 *ἄξενον ὑγράν*) *ἐργάζονται*] ο ex ω factum D 441 *εὔχονται δ'*] *εὐχόμενοι* dubitans Schoemann Op. II 222 adn. 6 442 *ῥηιδίως*] F, *ῥηιδίως δ'* libri ceteri (*δ'* eiecerunt Peppmüller Phil. XXXIX 388 et Bergk teste Peppmüllero Rh. Mus. XL 620 adn. 1) *κυδρὴ*] *κυδνὴ* I *πολλήν*] *κρυπτήν* Wakefield Silv. crit. III 189 443 vix genuinus esse videtur Paleio ed.[1] 201 *ἀφείλετο*] *ἀφείλατο Ψ* *φαινομένην*] *γρ. μένης* in marg. E 445 *βουκολίας δ' ἀγέλας τε*] scripsi (de *βουκολίας* adiectivo cf. Schoemann Op. II 224 et Schulze Quaest. ep. 255); *βουκολίας τ'* (*γρ. καὶ βουκόλιά τ'* superscr. E) *ἀγέλας τε ΩΨ*, *βουκολίας ἀγέλας τε* Peppmüller Phil. XXXIX 388 (et Bergk teste eodem l. c.), *βουκολίας τ' ἀγέλας ἠδ'* Schoemann Op. II 224 et d. Hes. Theog. 57, *βουκολίας τε συῶν τ' ἀγέλας ἠδ' αἰπόλι' αἰγῶν* Scheer Rh. Mus. XXIV 625, *βουκολίαις τ'· ἀγέλας γε* (vel *δὲ*) Wieseler Ind. Georg. Aug. hib. 1864, 14 (*βουκολίαις* ad 'pascua' referendum esse), *βουκολέουσ'· ἀγέλας δὲ* Ind. schol. Georg. Aug. aest. 1872 p. 4 446 *θυμῷ γ' ἐθέλουσα*] *ἐθέλουσά γε θυμῷ* (e v. 443) Koechly Op. I 280 447 ante hunc excidisse versum putavit Hermann Op. VIII 57 *βριάει*] *βριάρει* HI *κἀκ*] Winterton ed. 1635 (*κἀκ* ed. Basil. 1542), *καὶ ἐκ* libri, *ἐκ* (om. *καὶ*) Gerhard ZfdAw. X (1852) c. 105, versum 452 cum 447 coniungens, *κὴκ* Menrad Phil. Anz. 1887 p. 430 (de crasi cf. *χὠ* Theog. 284 *κεἰς* Op. 44 *κἀκεῖνος* Op. 295) *κἀκ πολλῶν*] *πολλῶν δ' ἐκ* Voss Hymn. Hom. Cer. Erl. 69 448 *καὶ*] in textu om. *Ψ*, m. alia superscr. L 450—452 suspecti Paleio ed.[1] 202 450 hoc versu incipit alterum codicis C

ὀφθαλμοῖσι ἴδοντο φάος πολυδερκέος Ἠοῦς.
οὕτως ἐξ ἀρχῆς κουροτρόφος, αἳ δέ τε τιμαί.

Ῥείη δὲ δμηθεῖσα Κρόνῳ τέκε φαίδιμα τέκνα,
Ἱστίην, Δήμητρα καὶ Ἥρην χρυσοπέδιλον

---

451 *Γ* 28 *ὀφθαλμοῖσι ἰδών* 453 cf. *β* 386 *φαίδιμον υἱόν** 454 *λ* 604 *καὶ Ἥρης χρυσοπεδίλου**

---

451 cf. Bacchyl. XVII 41 sq. *οὐ γὰρ ἂν θέλοιμ' | ἀμβρότου ἐραννὸν Ἀοῦς ἰδεῖν φάος* 453 cf. Fragm. Orph. 105 Ab. *ἕς τ' ἂν Ῥείη παῖδα τέκῃ Κρόνῳ ἐν φιλότητι* 453 sq. cf. Hymn. Hom. XIII 1 *Ἥρην . . ἣν τέκε Ῥείη* Pind. Nem. XI 1 *παῖ Ῥέας . . . Ἑστία* 454 Orac. Sib. III 123 *Δημήτηρ Ἑστίη τε*

453—457 Theodoret. graec. adfect. cur. VIII de martyr. 735 Sch. 83 c. 536 A M. *ἐκ δὲ Κρόνου καὶ Ῥέας (Ἡσίοδος ἔφη γεγενῆσθαι) τὸν Δία καὶ τὴν Ἥραν καὶ Ποσειδῶνα καὶ Πλούτωνα* Cosmas Hier. in Gregor. Theol. Carm. t. 38 c. 492 M. (*Ἡσίοδος ἐν Θεογονίᾳ φησίν*)· *ἐκ τοῦ Κρόνου* (*ἐγεννήθη*) *Ζεὺς Ποσειδῶν Πλούτων* 453 sq. Procl. in Plat. Cratyl. 140 p. 84 B. *ὅτι ἡ τοῦ Ἡσιόδου θεολογία ἐκ μονάδος τῆς Ῥέας παράγει, κατὰ μὲν τὰ κρείττω τῆς συστοιχίας, τὴν Ἑστίαν, κατὰ δὲ τὰ χείρω, τὴν Ἥραν, κατὰ δὲ τὰ μεταξύ, τὴν Δήμητρα* idem l. c. 166 p. 96 B. *Ἡσίοδος δὲ θυγατέρα τῆς Ῥέας λέγει τὴν Δήμητρα* 453. 457 Hippol. Philos. c. 26 (Doxogr. Gr. 575, 23 D.) *ὕστερον δέ που ἐκ τῆς Ῥέας γεγονέναι τὸν Δία* (*φησὶν ὁ Ἡσίοδος*) 454 Et. mag. v. *Ἑστία* p. 382, 45 G. (cf. Ammon. de diff. adf. vocab. v. *βωμός* p. 33 = 35 V.) *καὶ παρὰ Ἡσιόδῳ ἡ σωματοειδὴς θεός "Ἱστίην — χρυσοπέδιλον'* Eust. Hom. 1564, 33 *Ἑστία . . . καὶ διὰ τοῦ ῑ οἷον "Ἰστίην — χρυσοπέδιλον'*

---

fragmentum *μιν*] *μην* C *Κρονίδης*] superscr. D, *πάντων* Hermann l. c. *μετ' ἐκείνην — 451 Ἠοῦς*] *σὺν ἐκείνῃ* (*μετ' ἐκείνης* Bergk in exemplo suo teste Peppmüllero Hes. 56 adn. 1) | *ὀφθαλμοῖσιν ἴδωσι φάος πολυδερκέος Ἠοῦς* Hermann Op. VIII 57, qui praeterea *σὺν ἐκείνῃ | ὀφθαλμοῖσι φόως Ἠοῦς πολυδερκὲς ἴδωνται* l. c. coniecit; *ὃν μὲν ἐκείνη | ὀφθαλμοῖσιν ἴδοιτο φάος πολυδερκὲς ὁρῶντα* Koechly Op. I 279 *μετ' ἐκείνην*] *μετεκείνην* C, *μετέπειτα* Schoemann Op. II 227, *μετ' ἐκεῖνα* (= postea) Wieseler Ind. schol. Georg. Aug. aest. 1872 p. 4, *δι' ἐκείνην* Koechly Op. I 279

451 *ἴδοντο*] libri, *ἴδοιντο* Schoemanno (Op. II 226 adn. 10) praeeunte Paley ed.[1] p. 202 adn. *πολυδερκέος*] *πολυδερκέον* m[1] superscr. ς I, *πολυδέρκεον* F, *πολυδέρκεον* m. alia in marg. addito *γρ. κέρδεον* H, *πολυκέρδεον* (in marg. *γρ. πολυδέρκεος* L) Ψ, *πολλυκέρδιον* C 452 spurium esse dixit Heyne Comment. soc. scient. Gotting. II 146 adn. r *αἳ δέ τε*] *αἵδε τε* Ωb (flagitavit Hermann Op. VI 175), *αἰδεται* C, *αἱ δέ τι* G 453—502 duas recensiones statuit Puntoni Studî ital. di fil. cl. I 41—73, quarum prior strophas quaternarias, posterior quinarias complectatur 453 *Ῥείη δὲ δμηθεῖσα*] *ῥειη δὲ δμηθήσα* C (cf. Hermann Op. VI 163, *Ῥεία* Gruppe üb. d. Theog. d. Hes. 164), *ῥείη δ' ὑποδμηθεῖσα* (*ποδ* litteris deletis superscr. *αυ* I, *δ' αὖ δμηθεῖσα* Aldus ed.) ΩbcΨ (*ῥείη ὑποδμηθεῖσα* Triclinius), *ῥεῖα δ' ὑποδμηθεῖσα* D, *ὑποδμηθεῖσα* legit Ioannes Diaconus (330 Fl.) *φαίδιμα*] *φαίδημα* C 454 *Ἱστίην*] EΩc Et. mag. Eustathius, *ἵστίην* C, *ἱστίην* K, *ἱστίην* in textu, *ε.στιὴν* (inter *ε* et *σ* parvum foramen, quo *ι* littera videtur periisse) in marg. (infra scr. *ἠθείην*) L, *εἱστίην* D, *ἑστίην* F, *ην καὶ* corrupte Ammonius, unde *ἠΰκομον* Petersen, Urspr. u. Alt. d. Hes. Theog. 16 *Δήμητρα*] ΩaΨ, *δήμητραν* Ωbc Ammonius Eustathius *Ἥρην*] *Ἶριν* Eustathius *χρυσοπέδιλον*] *χρυσοστέφανον* C

ἴφθιμόν τ' Ἀίδην, ὃς ὑπὸ χθονὶ δώματα ναίει
νηλεὲς ἦτορ ἔχων, καὶ ἐρίκτυπον Ἐννοσίγαιον
Ζῆνά τε μητιόεντα, θεῶν πατέρ' ἠδὲ καὶ ἀνδρῶν,
τοῦ καὶ ὑπὸ βροντῆς πελεμίζεται εὐρεῖα χθών.
καὶ τοὺς μὲν κατέπινε μέγας Κρόνος, ὥς τις ἕκαστος
νηδύος ἐξ ἱερῆς μητρὸς πρὸς γούναθ' ἵκοιτο,
τὰ φρονέων, ἵνα μή τις ἀγαυῶν Οὐρανιώνων

---

455 sqq. *O* 187 sq. τρεῖς γάρ τ' ἐκ Κρόνου εἰμὲν ἀδελφεοί, οὓς τέκε Ῥείη, | Ζεὺς καὶ ἐγώ, τρίτατος δ' Ἀίδης ἐνέροισι ἀνάσσων 455 κ 534 ἰφθίμῳ τ' Ἀίδῃ* ε 80 δώματα ναίει* 456 *I* 497 νηλεὲς ἦτορ ἔχειν* 457 *A* 544 πατὴρ ἀνδρῶν τε θεῶν τε 458 *Δ* 182 εὐρεῖα χθών* 461 *O* 603 τὰ φρονέων*

---

457 Hymn. Orph. XIII 1 θεῶν πάτερ ἠδὲ καὶ ἀνδρῶν* 460 Fragm. Orph. 41, 2 Ab. νηδύος ἐξ ἱερῆς*

455—457 Theophil. ad Autol. II 5 p. 83 b (p. 58 O.) ἔτι μὴν καὶ θεοὺς ἔφησεν (Ἡσίοδος) Κρόνον καὶ τὸν ἐξ αὐτοῦ Δία Ποσειδῶνά τε καὶ Πλούτωνα καὶ τούτους μεταγενεστέρους εὑρίσκομεν τοῦ κόσμου 455 sq. Schol. Arat. 15 p. 339, 9 M. οἱ μὲν προτέραν γενεὰν τοὺς Τιτᾶνας φασίν . . . ἄλλοι τοὺς ἀδελφοὺς τοῦ Διός· πρότερον γὰρ γεγόνασι καθ' Ἡσίοδον 457 Schol. Hom. Ven. A B Townl. *Δ* 59 (I 170, 24 D., III 198, 7 D., V 128, 27 M.) πλανηθεὶς (πλαγιασθεὶς cod. Ven. A) δὲ ἐντεῦθεν Ἡσίοδος νεώτερόν φησι τὸν Δία (cf. 478 sq.) 459 sqq. cf. Plat. (cf. ad 156 sqq.) de Rep. II p. 377 E . . τὰ δὲ δὴ τοῦ Κρόνου ἔργα καὶ πάθη ὑπὸ τοῦ υἱέος οὐδ' ἂν εἰ ἦν ἀληθῆ, ᾤμην δεῖν ῥᾳδίως οὕτω λέγεσθαι πρὸς ἄφρονάς τε καὶ νέους, ἀλλὰ μάλιστα μὲν σιγᾶσθαι Lucian. de Saturn. 5 τὸ μὲν πρῶτον ἐκεῖνο, εἰ ἀληθῆ ταῦτά ἐστιν, ὃ περὶ σοῦ ἀκούομεν, ὡς κατήσθιες τὰ γεννώμενα ὑπὸ τῆς Ῥέας· ἐκείνη ὑφελομένη τὸν Δία λίθον ὑποβαλλομένη ἀντὶ τοῦ βρέφους ἔδωκέ σοι καταπιεῖν, ὁ δὲ εἰς ἡλικίαν ἀφικόμενος ἐξήλασέ σε τῆς ἀρχῆς πολέμῳ κρατήσας, εἶτα ἐς τὸν Τάρταρον φέρων ἐνέβαλε πεδήσας αὐτόν τε καὶ τὸ συμμαχικὸν ἅπαν, ὁπόσον μετὰ σοῦ παρετάττετο Themist. XXXII p. 363 a (438, 12 D.) καὶ δῆλον ὅτι μεστοὶ καὶ ὑμεῖς ἐστὲ Ἡσιόδου καὶ ὧν λέγει ἐκεῖνος περὶ τοῦ Κρόνου, ὅτι ἐσιτεῖτο ἐπιπολὺ ἃ γεννῴη, μόλις δὲ ἐξέθρεψεν ἡ Ῥέα τὸν Δία 459—467 Origen. c. Cels. IV 48 (I 320, 29 K.) . . ἐν αἷς (ταῖς Ἑλληνικαῖς ἱστορίαις) πατέρες θεοὶ υἱοὺς θεοὺς καταπίνουσι Schol. Hom. min. *B* 205 p. 61 B. (cf. Anecd. Par. III 7 Cr. Anecd. II 465 Matr. = Et. Gud. v. ἀγκυλομήτεω) . . τοὺς δὲ (τοὺς παῖδας) κατέπιεν (κατέπινεν Schol. Hom. Anecd. Par., sc. ὁ Κρόνος)

---

455 ὃς] ὢς C ναίει] ναίῃ C 456 ἦτορ] ἤτωρ C Ἐννοσίγαιον] ενοσίγαιον C 457 Ζῆνά τε] ζήνά τι C πατέρ' ἠδὲ] πατὲρ ἴδὲ C 458 ὑπὸ] libri Exegesis (400 Fl.), ἀπὸ Ioannes Diac. 332, 3 Fl. βροντῆς] reiecto v. 457 ῥιπῆς Hermann Op. VIII 57, βρίμης Koechly Op. I 270 et 272 πελεμίζεται] primum ε ex ο factum D, πελεμίζετο (m² superscr. αι E) Ωb, πολεμίζεται (πολεμήζεται C, ο postea in ε mutatum L, ε m. alia super ο scr. HI, praeterea ο linea transversa deletum I) CΩcΨ 459 τοὺς] τῶν Schoemann d. Hes. Theog. 200 κατέπινε] κατέπεινε C μέγας Κρόνος] Ωac (cf. v. 168, 473, 495), κρόνος μέγας ΩbΨ ὥς τις] ώστις C (ὥς τις dubitans Wolf ed. 105, cf. v. 156), ὅστις DΩbcΨ, ὅς τε (Ϝέκαστος) Flach d. Hes. Theog. 32, ὥς τε Fick Hes. Ged. 7 460 μητρὸς πρὸς] πρ̀σ (= πατρὸς) om. πρὸς G γούναθ' ἵκοιτο] γοῦναθήκοιτο C

ἄλλος ἐν ἀθανάτοισιν ἔχοι βασιληίδα τιμήν.
πεύθετο γὰρ Γαίης τε καὶ Οὐρανοῦ ἀστερόεντος,
οὕνεκά οἱ πέπρωτο ἑῷ ὑπὸ παιδὶ δαμῆναι
καὶ κρατερῷ περ ἐόντι — Διὸς μεγάλου διὰ βουλάς· —
τῷ ὅ γ' ἄρ' οὐκ ἀλαὸς σκοπιὴν ἔχεν, ἀλλὰ δοκεύων
παῖδας ἑοὺς κατέπινε· Ῥέην δ' ἔχε πένθος ἄλαστον.
ἀλλ' ὅτε δὴ Δί' ἔμελλε θεῶν πατέρ' ἠδὲ καὶ ἀνδρῶν
τέξεσθαι, τότ' ἔπειτα φίλους λιτάνευε τοκῆας

---

462 Z 193 *τιμῆς βασιληίδος* 463 E 769 *γαίης τε καὶ οὐρανοῦ ἀστερόεντος** 465 *O* 195 *καὶ κρατερός περ ἐών** *θ* 82 *Διὸς μεγάλου διὰ βουλάς** 466 Ξ 135 *οὐδ' ἀλαὸς* (Aristarchus, *ἀλαὸν* Zenodotus) *σκοπιὴν εἶχεν* 467 *α* 342 *πένθος ἄλαστον** 468 *ζ* 110 *ἀλλ' ὅτε δὴ ἄρ' ἔμελλε** cf. *T* 98 *ὅτ' ἔμελλε βίην Ἡρακληείην* | *Ἀλκμήνη τέξεσθαι*

---

462 Fragm. Orph. 86, 2 Ab. *ἵν' ἔχῃ βασιληίδα τιμήν** Orac. ed. Hendess 79, 3 *ἔχειν βασιληίδα τιμήν** ibidem 149, 1 *ἕξεις βασιληίδα τιμήν** Orac. Sib. III 120 *ἔχων βασιληίδα τιμήν** Maneth. I (V) 1 *λαχὼν βασιληίδα τιμήν**; cf. Eurip. Hipp. 1281 *βασιληίδα τιμάν* Epigr. gr. ed. Kaibel 1028, 53 *βασιληίδα τε⟨ιμάν** Orac. Sib. VIII 201 Gregor. Theol. Carm. I 1, 7, 57 et II 1, 45, 329 *βασιληίδα τιμήν** 465 Hymn. Hom. Merc. 386 *καὶ κρατερῷ περ ἐόντι** Gregor. Theol. Carm. I 2, 1, 78 *πατρὸς μεγάλου φραδίῃσιν* 467 cf. Incert. Edyll. VIII 15 *παῖδας ἑοὺς κατέπεφνε**

---

468 sqq. Manil. Astron. II 12, 15 *Hesiodus memorat . . . Iovis et cunabula magni,* cf. ad 455 sq.

· 462 *ἐν*] om. G *ἔχοι*] EΨ, *ἔχει* CG, *ἔχειοι* H, *ἔχει οἱ* I (i. e. *ἔχει* et *γρ. ἔχοι*), *ἔχῃ* DF *βασιληίδα*] *βασιλίδα* G 463 eiecit Gruppe üb. d. Theog. d. Hes. 108 464 *παιδὶ*] *παιδὴ* C 465 spurium esse censuit Guyet Not. in Hes. 177; at *Διὸς μεγάλου διὰ βουλάς*, quae verba parentheseos signo cinxi in ed. mea[1] p. 31, e mente poetae addita sunt; cf. etiam Muetzell de em. Theog. Hes. 52 *ἐόντι*] *εῶντι* C *Διὸς*] (minio superscr. *πρὸσ* E) Ωab Ψ Exegesis 400 Fl., *πατρὸς* Ωc scholion (104 et 256 Fl.): *ἄλλοι γράφουσι 'πατρὸς μεγάλου διὰ βουλάς', τουτέστι τοῦ Οὐρανοῦ. ὁ δὲ Ζεὺς πῶς εἶχε συμβουλεῦσαι τῷ Κρόνῳ μήπω γεννηθείς;* 466 sq. suppositos esse ratus expunxit Gruppe l. c. 109 466 *τῷ ὅ γ' ἄρ'*] Peppmüller (coll. Hom. *B* 109 *ζ* 309 *E* 434) Phil. LIII 279; *τῷ ὅ γε* (*τῶ ὁγε* C) libri, *τῷ δ' ἄρ' ὅ γ'* Bentley, *τῶ καὶ ὅγ'* Hermann Op. VI 175, *τοὔνεκ' ἄρ'* (ex Op. 49) dubitans Flach d. Hes. Theog. 23, *τῶν ἕνεκ'* (vel *τοὔνεκεν*) in exemplo suo Bergk teste Peppmüllero l. c. *ἀλαὸς σκοπιὴν*] ex Aristarchi lectione Hom. *K* 515 *N* 10 Ξ 135 scribendum (cf. La Roche Wien. St. XXII 72), ubi *ἀλαὸν σκοπιήν* Zenodotus; *ἀλαοσκοπιὴν* (*αλλὰ σκοπιὴν* C) libri; *ἄλιον σκοπιὴν* Nauck (qui v. 465 sq. genuinos esse negat MGrR. IV 483) MGrR. V 137 *ἔχεν*] *ἔσχεν* Ωb 467 *παῖδας ἑοὺς*] *παίδασεοῦσ* C, *ων* et *οῦς* minio superscr. E *Ῥέην*] *Ῥέαν* Fick Hes. Ged. 7 468—473 deleti, 468 et 473 etiam rubra tinctuua obliti sunt in E 468 *ἀλλ' ὅτε*] *αλλότε* C *δὴ Δί'*] *δὴ δὴ* C, *δὴ* (om. *Δί'*) G, *δί'* (om. *δὴ*) H, *δί'* supra addito m. rec. *δὴ* I *Δί' ἔμελλε*] *ῥ' ἤμελλε* (cf. ad v. 888) Muetzell de em. Theog. Hes. 202 *ἔμελλε*] *ἔμελλεν* C, *ἔμελε* G *πατέρ' ἠδὲ*] *πατὲρ ἠδὲ* C, *πατέρ' ἰδὲ* H, *πατέρ///* (α erasum?) *ἰδὲ* I 469 *λιτάνευε*] *λιτάνευσε* CHI, *λιτανεύετο* F

τοὺς αὐτῆς, Γαῖάν τε καὶ Οὐρανὸν ἀστερόεντα,
μῆτιν συμφράσσασθαι, ὅπως λελάθοιτο τεκοῦσα
παῖδα φίλον, (τείσαιτο δ' ἐρινῦς πατρὸς ἑοῖο
παίδων θ'), οὓς κατέπινε μέγας Κρόνος ἀγκυλομήτης.
οἳ δὲ θυγατρὶ φίλῃ μάλα μὲν κλύον ἠδ' ἐπίθοντο,
καί οἱ πεφραδέτην, ὅσα περ πέπρωτο γενέσθαι
ἀμφὶ Κρόνῳ βασιλῆι καὶ υἱέι καρτεροθύμῳ.
πέμψαν δ' ἐς Λύκτον, Κρήτης ἐς πίονα δῆμον,
ὁππότ' ἄρ' ὁπλότατον παίδων τέξεσθαι ἔμελλε,
Ζῆνα μέγαν· τὸν μέν οἱ ἐδέξατο Γαῖα πελώρη
Κρήτῃ ἐν εὐρείῃ τραφέμεν ἀτιταλλέμεναί τε.

---

470 cf. ad 463, *Ο* 371 οὐρανὸν ἀστερόεντα* 472 *Π* 460 παῖδα φίλον* *Φ* 412 οὕτω κεν τῆς μητρὸς ἐρινύας ἐξαποτίνοις 473 *Δ* 59 Κρόνος ἀγκυλομήτης* 474 *Ι* 79 μάλα μὲν κλύον ἠδ' ἐπίθοντο* 476 *Ν* 350 καὶ υἱέα καρτερόθυμον* 477 ξ 329 Ἰθάκης ἐς πίονα δῆμον* 480 *Ν* 453 Κρήτῃ ἐν εὐρείῃ* λ 250 κομέειν ἀτιταλλέμεναί τε* Ξ 202 ἐὺ τρέφον ἠδ' ἀτίταλλον

---

478 sqq. cf. Orac. Sib. III 138 sqq. καὶ ἔπειτα Ῥέη τέκεν ἄρσενα παῖδα, | τὸν ταχέως διέπεμψε λάθρῃ ἰδίῃ τε τρέφεσθαι | ἐς Φρυγίην τρεῖς ἄνδρας ἐνόρκους Κρῆτας ἑλοῦσα

---

470 proscripsit Gruppe l. c. 165 τοὺς] ϝοὺς van Leeuwen Enchir. dict. ep. 260; an εἶ'? cf. Theog. 126 αὐτῆς] FΩcΨ, αυτὴσ C, αὐτῆς E, (αυτ litterae in ras., spiritus asper primitus scriptus) D 471 μῆτιν συμφράσσασθαι] μῆτιν συμφράσασθαι ΩaGHL, μή τιν^{α} φράσασθαι E, μῆτιν οἱ φράσασθαι F λελάθοιτο] λελάθοι ἑ dubitans Paley ed.[1] p. 204 adn., κε λάθοι τε Schoemann d. Hes. Theog. 202 472 expunxit Gruppe l. c. 165 τείσαιτο] τίσαιτο (τήσετο C) libri ἐρινῦς] ερινὺσ C, ἐριννῦς (ἐριννὺς EΨ) DΩbcΨ πατρὸς] ἀνδρὸς? Guyet Not. in Hes. 177 ἑοῖο] εοίω C 473 insiticium esse censuit Heyne Comm. soc. scient. Gotting. II 146 adn. s θ'] addidit Schoemann Op. II 408 sq., om. codd. κατέπινε] κατέπινεν C ἀγκυλομήτης] ἀγκυλομήτις E, ἀγκυλόμητις F, quod flagitavit Nauck MGrR. IV 120 V 149 474 μάλα] μάλλα C μὲν κλύον] μὲν ἔκλυον Ψ, τ' ἔκλυον Blaydes Advers. 9 ἠδ' ἐπίθοντο] ηδὲ πείθοντο C, ἠδεπειθοντο m. al. in ἠδ' ἐπίθοντο mutatum E, ἠδ' ἐπείθοντο Ψ 475 καί οἱ] καί (om. οἱ) C πέπρωτο] πέπροτο C 476 υἱέι] ὕέει C καρτεροθύμῳ] κρατεροθύμῳ EGΨ 477—484 recentioris originis esse censuit Goettling ed.[2] 55 sq.; in una recensione v. 478—480 fuisse, in altera post 477 secutum esse 481 (μιν pro μὲν scripto) suspicatus est Hermann Op. VI 175 477 Λύκτον] addito in marg. γρ. δί (i. e. Δίκτον, quod Meursius Cret. II 3 p. 74 coniecit) E, λύκτρον C, Λύττον Clericus ed. p. 82 478 ὁππότ'] ὁπότ' C ἄρ'] ἂν Ψ τέξεσθαι ἔμελλε] Kinkel de codd. Hesiod. nonnull. in Angl. asserv. 19, cf. Hom. *Τ* 98 Hes. Theog. 468 sq., 888 sq. Hymn. Hom. Apoll. Del. 101 (v. Leeuwen Mnem. n. s. XVII 213 = Enchir. dict. ep. 280, Schulze Quaest. ep. 265 adn. 1); ἤμελλε τεκέσθαι (τέκεσθαι C, τεκέεσθαι I) libri, cf. Callim. Hymn. Del. 58 τεκεῖν ἤμελλε 480 Κρήτῃ ἐν] κρύψεν δ' Ωb τραφέμεν] α littera m[1] in ε mutata D, τρεφέμεν CΩbcL, τρέφεν K; τ' addidit Winterton ed. (a. 1675) p. 89, sed cf. Hes. Unters. 27 ἀτιταλλέμεναι] ατιπαλλέμεναι C

ἔνθα μιν ἷκτο φέρουσα θοὴν διὰ νύκτα μέλαιναν
πρώτην ἐς Λύκτον· κρύψεν δέ ἑ χερσὶ λαβοῦσα
ἄντρῳ ἐν ἠλιβάτῳ, ζαθέης ὑπὸ κεύθεσι γαίης,
Αἰγαίῳ ἐν ὄρει πεπυκασμένῳ ὑλήεντι.
τῷ δὲ σπαργανίσασα μέγαν λίθον ἐγγυάλιξεν
Οὐρανίδῃ μέγ' ἄνακτι, θεῶν προτέρῳ βασιλῆι.
τὸν τόθ' ἑλὼν χείρεσσιν ἑὴν ἐσκάτθετο νηδὺν
σχέτλιος· οὐδ' ἐνόησε μετὰ φρεσίν, ὥς οἱ ὀπίσσω

481 *K* 394 θοὴν διὰ νύκτα μέλαιναν* 483 cf. ad 300 488 cf. *Υ* 310 μετὰ φρεσὶ σῇσι νόησον

485 sqq. Nonn. Dion. XII 48 sq. ὃς (Κρόνος) ποτε λάινον υἷα κεχηνότι δέξατο λαιμῷ | Ζηνὸς ψευδομένοιο νόθον δέμας εἰλαπινάζων 487 cf. Oppian. Hal. II 257 ἑὴν ἐμπλήσατο νηδύν

482 Schol. Hom. Ven. B *O* 21 (IV 74, 7 D.) κρύπτεσθαι δὲ τὸν Δία (Ἡσίοδος λέγει) διὰ τὸ τὸ ζῆν ἐπικρατεῖν τῷ τῷ χειμῶνι τοὺς καρποὺς ἀφανίζεσθαι πλεοναζόντων τῶν ὑγρῶν 484 Schol. Arat. 33 p. 346, 22 M. τινὲς γράφουσι σχεδὸν Αἰγαίοιο παρ' Ἡσιόδου λαβόντες φάσκοντος τραφῆναι τὸν Δία 'Αἰγαίῳ — ὑλήεντι' 485 sq. cf. ad 459 sqq.; Tzetz. in Lycophr. 399 (II 579 M.) Δίσκον δὲ τὸν Δία λέγει διὰ τὸν λίθον τὸν ἀντὶ Διὸς ὑπὸ Ῥέας σπαργανωθέντα, ὥς φησιν Ἡσίοδος ἐν τῇ Θεογονίᾳ 487 Schol. Hom. Ven. B *O* 21 (IV 74, 5 D.) (Ἡσίοδος λέγει) λίθον δὲ καταπινόμενον ὑπὸ Κρόνου, ἐπειδή περ ἡ μεταβολὴ τῶν ὑγρῶν εἰς στερρότητα πήγνυται

481—483 pro spuriis habuit Guyet Not. in Hes. 177, simul cum v. 484 pro suspectis Peppmüller Hes. 121 adn. 481 μιν] Hermann Op. VI 175, cf. scholion (257, 27 Fl.) ἤγουν ἦλθε φέρουσα τὸν Δία διὰ νυκτός; μὲν ΩΨ ἷκτο] ἶκτο C, ἵκτο Ψ θοὴν] θοὴ Schrader Anim. ad Mus. ed. p. 217, sed cf. Hom. *K* 394, 468 *Ω* 366 482 πρώτην — ἑ] πρῶτον ἐς αὐτὴν Λύκτον, ἔπειτα δὲ in quibusdam exemplaribus scriptum fuisse suspicatur Goettling ed.[1] 46 πρώτην] η in ο m. rec. mutatum L, ο m. alia superscr. I, πρῶτα μὲν Wolf ed. 27 Λύκτον] λύκτρον C, Δίκτην Schoemann Op. II 251 adn. 4 κρύψεν] κρύψε Ωbc δέ ἑ] δέε C, δὲ //// (ἑ erasum) L χερσὶ] χερσὶν C, χειρὶ L 483 ὑπὸ κεύθεσι] ὑποκεύθεσι F 484 Αἰγαίῳ] αἰγέων H, αἰγαίῳ ex αἰγέων factum I; αἰγείῳ Salmasius Exerc. Plin. 626 A, (Αἰγείῳ Wilamowitz Isyll. 109) Ἀργαίῳ, Hoeck Cret. I 409, αἰγείροις Wakefield Silv. crit. I 121, Δικταίῳ Bentley Αἰγαίῳ ἐν] ἐν αἰγαίω scholior. Arati cod. A ὄρει] ὄρη C ὑλήεντι] υλήεντη C 485 σπαργανίσασα] σπαργανήσασα C (ησ e corr.) I, σπαργανώσασα Ωb ἐγγυάλιξεν] εγγυάληξεν C 486 Οὐρανίδῃ μέγ'] Οὐρανίωνι (vel Οὐρανοῦ υἱι)? Lennep ed. p. 64 προτέρῳ] πρότερον Peppmüller Phil. LVII 389 487 τὸν] τῶν in τὸν mutatum C ἑλὼν] ἑλῶν C ἑὴν ἐσκάτθετο νηδὺν] (εεῖν C) Ωa, ἑὴν ἐς κάτθεο (κάτθεο, τ m. rec. superscr. L) νηδὺν Ψ (ἑὴν εἰς κάτθετο νηδὺν dubitans Guyet Not. in Hes. 177), ἑὴν ἐγκάτθετο νηδὺν ΩbG, ἑὴν ἐγκατέθετο νηδὺν HI, ἑῇ ἐγκάτθετο νηδύι (νηδυῖ C. Schenkl in ed. mea[1]) Paley ed.[1] p. 205 (cf. Hom. Ξ 219 τεῷ ἐγκάτθετο κόλπῳ ψ 223 ἐῷ ἐγκάτθετο θυμῷ) 488 σχέτλιος] νήπιος Steitz Werk. u. Tag. d. Hes. 122 οὐδ' ἐνόησε] ουδὲ 'νόησε C μετὰ] ἐνὶ malit Nauck MGrR. IV 392 sq. ὥς οἱ] ὅσοι C, ὅς οἱ minio superscr. ὡς E

ἀντὶ λίθου ἑὸς υἱὸς ἀνίκητος καὶ ἀκηδὴς
λείπεθ', ὅ μιν τάχ' ἔμελλε βίῃ καὶ χερσὶ δαμάσσας
τιμῆς ἐξελάειν, ὃ δ' ἐν ἀθανάτοισιν ἀνάξειν.

καρπαλίμως δ' ἄρ' ἔπειτα μένος καὶ φαίδιμα γυῖα
ηὔξετο τοῖο ἄνακτος· ἐπιπλομένων δ' ἐνιαυτῶν
Γαίης ἐννεσίῃσι πολυφραδέεσσι δολωθεὶς
ὃν γόνον ἂψ ἀνέηκε μέγας Κρόνος ἀγκυλομήτης
[νικηθεὶς τέχνῃσι βίηφί τε παιδὸς ἑοῖο.]
πρῶτον δ' ἐξείμεσσε λίθον, πύματον καταπίνων·

---

490 *Γ* 431 *βίῃ καὶ χερσί* 491 *Δ* 61 *σὺ δὲ πᾶσι μετ' ἀθανάτοισι ἀνάσσεις** 492 *Ζ* 27 *μένος καὶ φαίδιμα γυῖα** 493 *α* 16 *περιπλομένων ἐνιαυτῶν** 495 cf. ad 473

---

492 sq. cf. Solon Fr. 27, 5 *ἀεξομένων ἔτι γυίων* Callim. Hymn. Iov. 55 *καλὰ μὲν ἠέξευ, καλὰ δ' ἔτραφες, οὐράνιε Ζεῦ* 493 Pseudohesiod. Scut. 87 *ἐπιπλομένων ἐνιαυτῶν**

---

496 cf. Dio Prus. XIV 21 (II 231, 23 A.) *ἐπεὶ ὅ γε τῶν θεῶν βασιλεὺς ⟨ὁ⟩ πρῶτος καὶ πρεσβύτατος δέδεται, ὥς φασιν, εἰ χρὴ πιστεύειν Ἡσιόδῳ τε καὶ Ὁμήρῳ καὶ ἄλλοις σοφοῖς ἀνδράσιν, οἳ περὶ Κρόνου ταῦτα λέγουσι, καὶ μὰ Δία οὐχ ὑπ' ἐχθροῦ ἀδίκως παθόντα τοῦτο, ἀλλ' ὑπὸ τοῦ δικαιοτάτου καὶ φιλτάτου, δῆλον ὅτι ὡς βασιλικὰ καὶ συμφέροντα ἐκείνῳ δρῶντος*

---

489 *λίθου ἑὸς*] *λίθοι' ἑὸς* v. Leeuwen Enchir. dict. ep. 261, *λίθοιο ὃς* dubitans Dyroff Kuhn's Z. f. vgl. Sprachf. 1895 p. 96 490 *ὅ μιν*] *ὅ μην* C, *ὅ μιν* superscr. *ὅς τις* E *ἔμελλε*] *ἔμελλεν* C 491 *ἐξελάειν*] D, *ἐξελάαν* (*ἐξελαᾶν* I) ΩbcΨ, superscr. *σαι* m. alia HI; *εξαλάαν* C *ὃ δ' ἐν*] *ὃ δ' ἓν* C, *καὶ ἐν* vel *ἠδ'* Guyet Not. in Hes. 177 (potius aliquis *ἰδ' ἐν* scripserit, quod etiam Peppmüller suasit Phil. LVII 389) *ἀθανάτοισι*] *ἀνθρώποισι* Fick Hes. Ged. 36 *ἀνάξειν*] Ωac, *ἀνάξειν* ex *ἀέξειν* factum L, *ἀέξειν* ΩbK 492—500 subditicios esse censuit Guyet Not. in Hes. 177, assentitur A. Meyer de comp. Theog. Hes. 33 492 *καρπαλίμως*] *καρπαλήμωσ* C *μένος*] om. G *γυῖα*] *γύα* C 493 *ηὔξετο*] minio superscr. *α* E, *ηὖξετο* C *τοῖο*] DHI, *τοίου* G, *τοῖο δ'* ΩbK, *τοῖο////* (*δ'* erasum) L, *τ' οἷσ δ'* C *ἐπιπλομένων δ' ἐνιαυτῶν*] DΩcΨ, *ἐπιπλομένου δ' ἐνιαυτοῦ* (*ἐπιπλωμενοῦ*, minio superscr. *ο* E, *δὲνιαυτοῦ* C) CΩb, cf. scholion (258, 22 Fl.) '*τοῦ δὲ ἐνιαυτοῦ προελθόντος*' (v. Paley ed.[1] 206 adn.) 494 *ἐννεσίῃσι*] *εννεσσίησι* C, *ἐν ἐσίῃσι* minio superscr. *αἱ* E, *ἐνεσίῃσι* F *πολυφραδέεσσι*] *πολλυφραδέεσσι* C, *πολυφραδέσσι* HI *δολωθεὶς*] (*δολωθὴσ* C; in marg. additum *γρ. χω* i. e. *χολωθεὶς* E) Ω, *χολωθεὶς* Ψ 495 *ἀγκυλομήτης*] *ἀγκυλόμητις* F 496 prorsus absonum esse monuit Heyne in epist. ad Wolfium (ed. 152) *νικηθεὶς*] *νικηθὴσ* C *τέχνῃσι*] *τέχνεσι* C *βίηφι*] *βίηφη* C *ἑοῖο*] *εοίο* C 497 *ἐξείμεσσε — καταπίνων*] *ἐξέμεσεν λίθον, ὃν πύματον κατέπινεν* Peppmüller Rh. Mus. XL 620 (*κατέπωνεν* Bergk in marg. exempli sui teste Peppmüllero l. c. adn. 1) *ἐξείμεσσε*] Fick Hes. Ged. 7 (*ἐξείρυσσε = ἐξεϜέρυσσε* legit Aristophanes Hom. *Γ* 373), *ἐξεϜέμεσσε* recepit idem l. c. 36, *ἐξήμεσσε* Hermann Op. VI 176 (cf. *ἀπέμεσσεν* Hom. *Ξ* 437), *ἐξήμεσε* cod. Laurent. LXXXXI sup. 10, superscr. *η* Casanat. 356; *ἐξήμησε* ΩΨ *πύματον καταπίνων*] *πύμαθ' ὃν κατέπινεν* Emperius Op. 304, *πύματον κατάπιστον* 'ultimo loco devoratum' Wieseler Ind. Georg. Aug. aest. 1872 p. 5 *πύματον*] *πήματον* G *κατα-*

τὸν μὲν Ζεὺς στήριξε κατὰ χθονὸς εὐρυοδείης
Πυθοῖ ἐν ἠγαθέῃ γυάλοις ὕπο Παρνησοῖο
σῆμ' ἔμεν ἐξοπίσω, θαῦμα θνητοῖσι βροτοῖσιν.

[λῦσε δὲ πατροκασιγνήτους ὀλοῶν ἀπὸ δεσμῶν
Οὐρανίδας, οὓς δῆσε πατὴρ ἀεσιφροσύνῃσιν·
οἵ οἱ ἀπεμνήσαντο χάριν εὐεργεσιάων,
δῶκαν δὲ βροντὴν ἠδ' αἰθαλόεντα κεραυνὸν
καὶ στεροπήν· τὸ πρὶν δὲ πελώρη Γαῖα κεκεύθει·
τοῖς πίσυνος θνητοῖσι καὶ ἀθανάτοισιν ἀνάσσει.]

Κούρην δ' Ἰαπετὸς καλλίσφυρον Ὠκεανίνην
ἠγάγετο Κλυμένην καὶ ὁμὸν λέχος εἰσανέβαινεν.
ἡ δέ οἱ Ἄτλαντα κρατερόφρονα γείνατο παῖδα·
τίκτε δ' ὑπερκύδαντα Μενοίτιον ἠδὲ Προμηθέα

---

498 cf. ad 119 499 θ 80 *Πυθοῖ ἐν ἠγαθέῃ** 500 λ 287 *θαῦμα βροτοῖσιν* 501 χ 200 *ὀλοῷ ἐνὶ δεσμῷ** 503 Ω 428 *τῷ οἱ ἀπεμνήσαντο** 506 Μ 242 *πᾶσιν θνητοῖσι καὶ ἀθανάτοισι ἀνάσσει** 508 Θ 291 *ὁμὸν λέχος εἰσαναβαίνοι** 509 λ 299 *κρατερόφρονε γείνατο παῖδε**

---

498 cf. Callim. Hymn. Apoll. 23 *ὅς τις ἐνὶ Φρυγίῃ διερὸς λίθος ἐστήρικται* 499 Hymn. Hom. Apoll. Pyth. 215 *γυάλων ὕπο Παρνησοῖο** 501 cf. Pind. Pyth. IV 291 *λῦσε δὲ Ζεὺς ἄφθιτος Τιτᾶνας* 504 Orac. Sib. XIV 240 *ὑπ' αἰθαλόεσσι κεραυνοῖς**

---

499 Apoll. Soph. Lex. v. *γύαλον* p. 55, 29 B. *τιθέασι δέ τινες τὴν λέξιν καὶ ἐπὶ τῶν κοιλωμάτων, ὡς Ἡσίοδος 'γυάλοις ὕπο Παρνησσοῖο'*

πίνων] *καταπιών* exspectabat Goettling ed.[1] 47, restituendum censuit Fick, Bezzenb. Beitr. z. K. d. indog. Spr. XII 31 Hom. Odyss. i. d. urspr. Sprachf. 329, sed cf. Schulze Quaest. ep. 360 adn. 3

μηνὸς δ' ὀγδοάτῃ κάπρον καὶ βοῦν ἐρίμυκον
ταμνέμεν, οὐρῆας δὲ δυωδεκάτῃ ταλαεργούς.

εἰκάδι δ' ἐν μεγάλῃ, πλέῳ ἤματι, ἵστορα φῶτα
γείνασθαι· μάλα γάρ τε νόον πεπυκασμένος ἐστίν.

ἐσθλὴ δ' ἀνδρογόνος δεκάτη, κούρῃ δέ τε τετρὰς
μέσση· τῇ δέ τε μῆλα καὶ εἰλίποδας ἕλικας βοῦς
καὶ κύνα καρχαρόδοντα καὶ οὐρῆας ταλαεργοὺς
πρηΰνειν ἐπὶ χεῖρα τιθείς. πεφύλαξο δὲ θυμῷ

---

789 cf. ad 78 790 ο 235 *βοῦς ἐριμύκους** 791 cf. δ 636 *ἡμίονοι ταλαεργοί* 795 *I* 466 *μῆλα καὶ εἰλίποδας ἕλικας βοῦς** 796 cf. ad 604

---

795 sqq. Vergil. Georg. I 285 *et prensos domitare boves* 796 cf. ad 604; Orac. Sib. II 10 *οὐρήων ταλαεργῶν**

---

787 *σηκόν*] CHKO<ν A *ἤπιον*] periit in A; *ἤπιον* IM, ex *ἤπιον* factum D 788 sq. suspecti Steitzio l. c. 179 788 *δ'*] *δὲ* D *φιλέοι δ' ὅ γε*] A, *φιλέοι δέ κε* (altera rec.) ΩNO (*κε* om. cod. Ambros. C 222 inf.), *φιλέει δέ κε* Ψ (*κε* om. M) Q cod. Laurent. conv. suppr. 158, *φιλέει δέ τε* Triclinius *κέρτομα*] A (K<ερτ>OMA) ΨΦ, *κέρδεα* Ω (*δεα* litterae deletae, *τομα* m. alia superscr. C) 789 *θ'*] Γ' A *αἱμυλίους*] AIMYΛIO<υ>C A *λόγους*] om. A *κρυφίους*] KPYΦIO<υς A *τ' ὀαρισμούς*] *τ' οαρ*>ICMOYC A 790 *δ'*] *δὲ* D *ὀγδοάτῃ*] *ο*>ΓΔOATH A, *τε* addit Q *βοῦν ἐρίμυκον*] BO<*ν ερι*>MYKON A, *ἐρύμυκον* N 791—802 m. genuina scripti leguntur in folio 85 codicis E 791 *δυωδεκάτῃ*] ΔYΩΔEKATH A, *δυωκάτηι* m. alia superscr. *δε* C *ταλαεργούς*] *ταλ*>AEPΓOYC A 792 *εἰκάδι δ' ἐν*] EIKAΔ<ι>ΔEN A *μεγάλῃ*] MEΓAΛH A *πλέῳ*] *πλέω* ACM *ἵστορα*] ΩΨΦ, ÏCT<*ορα* A 793 om. A *γείνασθαι*] Ψb, *γίνασθαι* DEO, *γίνεσθαι* Ω, e corr. N *πεπυκασμένος*] DIMOQ, *πεπνυμένος* ΩKLEN *ἐστίν*] *ἔσται* Doederlein Hom. Gloss. II 9 794—797 Proclus 436, 28 G.: *πεφύλαξο δὲ θυμῷ· τοὺς πρὸ τούτων δ'* (*δύο* codd. al.) *στίχους οὐδὲ μνήμης ὁ Πλούταρχος ἠξίωσεν ὡς ἂν μὴ φερομένους*, unde illum '*ἐσθλὴ δ' ἀνδρογόνος δεκάτη· πεφύλαξο δὲ θυμῷ*' (omissis quae interiacent) legisse conclusit Goettling ed.[2] 245 794 *δ'*] <*δ*>' A, *δὲ* D *ἀνδρογόνος δεκάτῃ*] AN<*δ*>POΓONOCΔEKATH· A *κούρῃ — τετρὰς*] ΩΦ, KOYP<*η δε τε τ*>ETPAC A, *τε* in textu om., postea superscr. in D, *τε* om. Ψb (*ῃ* m. rec. superscr. in M); *κούρῃ δὲ τετάρτῃ | μέσσῃ* dubitans Guyet Not. in Hes. 161 795 *μέσση·*] MECCH· A, *μέση* D, *μέσσῃ* (*μέσσηι* C) Ω *τε*] om. E *εἰλίποδας ἕλικας*] EIΛIΠO<*δας ελικ*>AC A, *ἐλίποδας ἕλικας* M 796 *καρχαρόδοντα*] KA<*ρ*>XAPOΔON<*τα* A, *καχαρόδοντα* D *οὐρῆας*] ΩΨQ, periit in A, *οὐρῆας* superscr. *ἡμιόνους* glossemate O; *ἡμιόνους* EN (superscr. *οὐρῆας* m. rec. N) *ταλαεργοὺς*] *ταλαερ*>ΓOY<*ς* A 797 *πρηΰνειν*] *πραΰνειν* ENQ *ἐπὶ*] EΠI A *δὲ*] periit in A *θυμῷ*] *θ*>YMΩI A, *θυμὸν* 'iram bestiarum' e cod. Vitebergensi alterum hemistichium ad prius pertinere ratus Hermann Op. VI 254

τετράδ' ἀλεύασθαι φθίνοντός θ' ἱσταμένου τε
ἄλγε' ἃ θυμοβορεῖ· μάλα γὰρ τετελεσμένον ἦμαρ.

ἐν δὲ τετάρτῃ μηνὸς ἄγεσθ' εἰς οἶκον ἄκοιτιν
οἰωνοὺς κρίνας, οἳ ἐπ' ἔργματι τούτῳ ἄριστοι.

πέμπτας δ' ἐξαλέασθαι, ἐπεὶ χαλεπαί τε καὶ αἰναί·
ἐν πέμπτῃ γάρ φασιν Ἐρινύας ἀμφιπολεύειν
Ὅρκον γεινόμενον, τὸν Ἔρις τέκε πῆμ' ἐπιόρκοις.

μέσσῃ δ' ἑβδομάτῃ Δημήτερος ἱερὸν ἀκτὴν

---

800 Γ 72 *γυναῖκά τε οἴκαδ' ἀγέσθω* 803 cf. υ 78 *ἔδοσαν στυγερῇσιν Ἐρινύσιν ἀμφιπολεύειν* 805 cf. ad 32

---

802 cf. Maxim. 491 = Fragm. Orph. 12, 4 Ab. *οἴνας δ' ἐξαλέασθαι** 802 sqq. Vergil. Georg. I 277 sq. *quintam fuge: pallidus Horcus | Eumenidesque satae* 805—808 cf. Fragm. Orph. 27 Ab. (ap. Procl. in Hes. Op. 804) *εἰ δέ, ὥς φησιν Ὀρφεύς, τῇ ἄτῃ ἀνεῖται ἡ ἑπτακαιδεκάτη καὶ διὰ τοῦτο τῇ*

---

802 sqq. Ioann. Laur. Lyd. de mens. IV 76 (p. 127, 3 W.) *ἐπειδὴ δὲ . . . ὁ τῆς πεντάδος ἀριθμὸς τῶν θειοτέρων κατὰ τὸν Ἡσίοδον κεχώρισται, εἰκὸς ἦν αὐτὸν τοῖς κατοιχομένοις ἀπονεμηθῆναι* 803 sq. Serv. in Vergil. Georg. I 277 (III 195, 20 Th.-H.) *Hesiodus Orcum quinta luna dicit natum*

---

798 interpolatori tribuit Schoemann ed. 60 *τετράδ' ἀλεύασθαι*] periit in A, *τετράδα δ' ἀλεύασθαι* Q *θ'*] Τ' A 799 pro insiticio habuit Steitz l. c. 179 sq. *ἄλγε' ἃ θυμοβορεῖ*] scripsi (*τετράδ'* = *τετράδι*, cf. quae dixi Wien. St. XIX 31 sq.); ΑΛΓΕΑΘΥΜΟΒΟΡ<·· A, *ἄλγεα θυμοβορεῖν* ΩΨΦ; *ἄλγεα θυμοβορῇ* Guyet Not. in Hes. 161, *ἄλγεα θυμοβόρα* Schoemann ed. 60; *ἄλγεσι θυμοβορεῖ μάλα κτλ.* post *ἱσταμένου τε* (798) distinguens Wachler, Anmerk. z. Hes. mor. u. ökon. Vorschr. 154 *γὰρ*] A, *τοι* ΩΨΦ 800 *μηνὸς*] ΜΗ<*νος* A, *μέσσῃ* Sauppe Ind. schol. Georg. Aug. aest. 1886 p. 4 *ἄγεσθ' εἰς οἶκον*] ΑΩΨΦ (*ἐσ* M); *ἄγεσθαι Ϝοῖκον*? Sittl ed. 527 *ἄκοιτιν*] *ἄκοιτην* M 801 serius additum esse censuit Steitz l. c. 180 *οἳ*] *οἵ τ'* EN, Ο<*ι* A *ἐπ' ἔργματι*] ex *ἐπέργματι* corr. D, *επ*>ΕΡΓΜΑΤΙ A, *ἐφ' ἔργματι* I, *Ϝέργματι* dubitans Paley (*ἐπ'* suppositum esse ratus) ed.[1] 100 *ἐπ' — τούτῳ*] *τῷδ' ἐπὶ ἔργματ'* (vel *ἔργῳ*) antiquitus scriptum fuisse suspicatus est Lennep ed. 92, ΤΟΥΤΩ A 802 *δ'*] *δὲ* D *ἐξαλέασθαι*] ΕΞΑ<*λε*>ΑΣΘΑΙ A, *ἀλέασθαι* L 803—828 in genuino codicis E textu desiderantur, cf. Serta Hartel. 210 803 *γάρ*] *γ*>ΑΡ A *φασὶν*] periit in A, *φησὶν* ΩbILQ *Ἐρινύας*] ΑΩDN, *ἐριννύας* ΨbOQ *ἀμφιπολεύειν*] ΜΦ litterae perierunt in A 804 *Ὅρκον*] *ο*>ΡΚΟΝ A *γεινόμενον*] C m[1] (postea deletum superscr. m. rec. *τιννυμένας*) DMNO (ante verbum aliquid erasum, in marg. *γρ. ὅρκον τιννυμένας* O), ΓΙΝΟΜΕΝ<*ον* A, *γινόμενον* IL (m. rec. superscr. *τιννυμένας* L) cod. Laurent. conv. suppr. 158; cf. Vergilius cum Servio Proclus (p. 438, 16 sq. G. '*τὸν ὅρκιον θεὸν . . . εἰκότως ἐν τῇ πέμπτῃ γενέσθαι τῇ φθινάδι φασί*'); *τιννυμένας* ΩbKQ Moschopulus *τὸν*] *το*>Ν A *τέκε*] ex *τέκ'* corr. D 805 *μέσσῃ δ'*] *με*>ΣΣΗΔ A, *μέσῃ* om. *δ'* D *ἑβδομάτῃ*] *εβδ*>ΟΜΑΤ<*η* A, *ἑβδομάδι* Q *Δημήτερος*] *δ*>ΗΜΗΤΕΡΟΣ A

εὖ μάλ' ὀπιπεύοντα ἐντροχάλῳ ἐν ἀλωῇ
βαλλέμεν, ὑλοτόμον τε ταμεῖν θαλαμήια δοῦρα
νήιά τε ξύλα πολλά, τά τ' ἄρμενα νηυσὶ πέλονται.
τετράδι δ' ἄρχεσθαι νῆας πήγνυσθαι ἀραιάς.

εἰνὰς δ' ἡ μέσση ἐπὶ δείελα λώιον ἦμαρ,
πρωτίστη δ' εἰνὰς παναπήμων ἀνθρώποισιν·
ἐσθλὴ μὲν γάρ θ' ἥ γε φυτευέμεν ἠδὲ γενέσθαι
ἀνέρι τ' ἠδὲ γυναικί· καὶ οὔ ποτε πάγκακον ἦμαρ.

παῦροι δ' αὖτε ἴσασι τρισεινάδα μηνὸς ἀρίστην
[ἄρξασθαί τε πίθου καὶ ἐπὶ ζυγὸν αὐχένι θεῖναι

---

806 cf. ad 599 807 sq. ι 498 νήια δοῦρα 813 τ 408 ἀνδράσιν ἠδὲ γυναιξίν*

τε τομῇ τῆς ὕλης ἐστὶν οἰκεία καὶ τῇ τοῦ καρποῦ γυμνώσει τῶν περικαρπίων, ὁ Ἡσίοδος οὐκ ἀμούσως τούτοις τοῖς ἔργοις ἀνῆκε τὴν ἡμέραν 805 cf. Vergil. Georg. I 284 *septuma post decumam felix et ponere vitem* . . .

815 cf. Theogn. 1357 (παιδοφίλησιν) ἐπὶ ζυγὸν αὐχένι κεῖται Inscript. Gr. metr. 271, 5 ed. Preger (ap. Demosth. de cor. 289), ⟨ἐπὶ⟩ (suppl. Pepp-

---

806 μάλ'] μάλα D ὀπιπεύοντα] cod. Placentinus 6 teste Balsamo; ὀπιπτεύοντα L (codicis H pars rec.), ὀπιπτεύοντ' K; singularem numerum legerunt Proclus 439, 28 Moschopulus 439, 24 G.; cf. Steinacher, d. Synt. d. hes. Infin. (Progr. v. Landskron i. Böhm. 1885) p. 10, Seip de part. et inf. ap. Hes. usu p. 58; ὀπιπεύοντας C, ὀπιπτεύοντας ΩbIMNQ, ὀπιπτεύοντα/// O; ΟΠΙΠΕΥΟ⟨···· A, ὀπιπεύοντος D ἐντροχάλῳ] εντροχα⟩ΛΩ A 807 βαλλέμεν] scripsi Wien. St. V 194 (cf. v. 278, 377, 598, 672, 791); βάλλειν (ΒΑ⟨λε⟩ΙΝ· A) libri ὑλοτόμον] ον litterae perierunt in A τε ταμεῖν] τε τ⟩ΑΜ⟨ειν A, τε τάμνειν D δοῦρα] signum quoddam super Ρ litteram exhibet A 808 νήια — πολλά] ΝΗΙ·ΑΤΕΞΥΛΑΠ⟨ολλ⟩Α (sic) A τά] om. in textu, m[2] superscr. in M τ' ἄρμενα] ΩΨbQ, θ' ἄρμενα O, θ' ἄρμενα N, ·⟩ΑΡ⟨μ⟩ΕΝΑ A, τ' ἅρματα D 808 postea additum esse censuit Paley ed.[1] 101; post hunc v. 420 iteratur in Ωb 809 τετράδι δ'] τετράδ' D πήγνυσθαι ἀραιάς] Π⟨ηγν⟩ΥΣΘΑΙΑΡΑΙΑ⟨ς A, πήγνυσθ' ἀραρυίας Guyet Not. in Hes. 161; π. ἀραιάς NO 810 εἰνὰς] εἰννὰς KL μέσση] ΜΕΣΗΙ A ἐπὶ δείελα] ΨbO, ἐπιδείελα ΩDNQ, ΕΠΙΔΕΙΕΛ⟨α A λώιον ἦμαρ] interiit in A 811 εἰνὰς] εἰννὰς KL παναπήμων] ΠΑΝΑΠ⟨ημων A ἀνθρώποισιν] periit in A 812 θ' ἥ γε] Θ'ΗΓΕ A, ἥ γε superscr. τ' ἠδὲ m[2] M; θ' ἧδε D (ἠδὲ m. post.) N (spiritus deest) O, ἧδε (omisso θ') Ω, τῇδε IKLQ (postea τ' ἢ scr. in Q) φυτευέμεν] ΩΨΦ cod. Ambros. C 222 inf., ΦΥ⟨···· A, φυτεύειν cod. Laurent. conv. suppr. 158 ἠδὲ γενέσθαι] non servavit A 813 ἀνέρι τ' ἠδὲ] perierunt in A γυναικί] γυν⟩ΑΙΚΙ A πάγκακον] ΠΑΝΚ⟨ακον A ἦμαρ] interiit in A 814 παῦροι — ἴσασι] praeter exiguas vocis extremae reliquias perierunt in A αὖτε] codicis H pars rec., αὖτ' ΩΨΦ τρισεινάδα] ΤΡΕΙΣΕΙΝΑΔΑ A, τρισειννάδα KLQ μηνὸς ἀρίστην] ΜΗΝ⟨ος superest in A 815 sq. alteri recensioni tribuit Goettling ed.[1] 202 (ed.[2] 247) 815 ἄρξασθαί τε πίθου] periit in A καί] κ⟩ΑΙ A ἐπὶ ζυγὸν αὐχένι] Hermann (qui etiam ἐπίζυγον αὐχένα dici posse censuit) Op. VI 254, ΕΠΙΖΥΓΟΝΑΥΧΕΝ⟨····· A, ἐπὶ ζυγὸν (ἐπιζυγὸν C) αὐχένα ΩΨΦ; ὑπὸ ζυγὸν αὐχένα conieci Wien. St. V 194

βουσὶ καὶ ἡμιόνοισι καὶ ἵπποις ὠκυπόδεσσι,]
νῆα πολυκλήιδα θοὴν εἰς οἴνοπα πόντον
εἰρύμεναι· παῦροι δέ τ' ἀληθέα κικλήσκουσιν.

τετράδι δ' οἶγε πίθον· περὶ πάντων ἱερὸν ἦμαρ
μέσσῃ· παῦροι δ' αὖτε μετ' εἰκάδα μηνὸς ἀρίστην
ἠοῦς γιγνομένης· ἐπὶ δείελα δ' ἐστὶ χερείων.

αἵδε μὲν ἡμέραι εἰσὶν ἐπιχθονίοις μέγ' ὄνειαρ,
αἱ δ' ἄλλαι μετάδουποι, ἀκήριοι, οὔ τι φέρουσαι.

---

816 *Η* 333 *βουσὶ καὶ ἡμιόνοισιν** *Ψ* 504 *ἵπποις ὠκυπόδεσσιν* 817 *Η* 88 *νηὶ πολυκλήιδι πλέων ἐπὶ οἴνοπα πόντον* 819 cf. ad 770 822 cf. ad 41

---

müller Phil. LVIII 471) *ζυγὸν αὐχένι θέντες* Theogn. 1023 (*τοῖς ἐχθροῖσιν*) *ὑπὸ ζυγὸν αὐχένα θήσω* Orac. Sib. VIII 126 *κοὐκ ἔτι σοι δούλειον ὑπὸ ζυγὸν αὐχένα θήσει* Apollinar. Psalm. Met. XLVIII 29 *ὑπὸ ζυγὸν αὐχένα θεῖεν* idem XCIX 2 *ὑπὸ ζυγὸν αὐχένα θέσθε* (Alcaeus Anth. Append. Plan. XVI D. 5, 3 *Εὐρώπα δοῦλον ζυγὸν αὐχένι θήσων* Orac. Sib. III 448 *δεινὸν ζυγὸν αὐχένι θήσῃ* Apollinar. Psalm. Met. CI 44 *ἑὸν ζυγὸν αὐχένι* [correxi, *αὐχένα* libri] *θήσει*)
822 Pseudorph. Arg. 38 Ab. *ἐπιχθονίοις μέγ' ὄνειαρ** Arat. 15 *μέγ' ἀνθρώποισιν ὄνειαρ**; cf. ad Theog. 871 822 sq. cf. Theocrit. XV 105 *Ὧραι . . . ποθειναὶ* | *ἔρχονται πάντεσσι βροτοῖς αἰεί τι φορεῦσαι*

---

816 ··ΙΚΑ⟨*ι ι*⟩ΠΠΟΙϹѠΚΥΠ⟨*οδεσσι* servata in A 817 *νῆα πολυκλήιδα*] ··ΑΠΟ·· litterae supersunt in A *νῆα*] *νέα τε* Schaefer l. c. 248 adn. *πολυκλήιδα*] *πολυκλῃίδα* ΩKL, *πολυκληῖδα* IM *θοὴν — πόντον*] perierunt in A, *θοήν τ'* IKLQ, suasit Paley ed.[1] 101 818—820] omisso 819 . . *κικλήσκουσι* | *μέσσην· κτλ.* scribendum esse censuit Hermann Op. VI 255 818 *εἰρύμεναι*] *ἐρύμεναι* Sittl ed. 528, ϵΛΚϵΜ⟨*ενα*⟩Ι· A *παῦροι δέ τ'*] ΠΑ⟨*υρ*⟩ΟΙΔϵΤ A *δέ τ'*] *δὲ* Nauck MGrR. IV 612 adn. 46 *ἀληθέα κικλήσκουσιν*] perierunt in A *κικλήσκουσιν*] *κικλήσκωσι* K, *γινώσκουσι* e Moschopulo dubitans Guyet Not. in Hes. 162 819 *τετράδι δ'*] *τετράδ'* O *δ'*] periit in A *πίθον*] ΠΙ⟨*θ*⟩ΟΝ A *πάντων — ἦμαρ*] ΠΑΝ⟨*των*·· (clausula interiit) A 820 *μέσσῃ*] A (ΜϵϹϹΗ·) IKLQ, *μέσῃ* D, *μέσσῃ* Moschopulus; *μεσσῆῃ* (i. e. *μέσσῃ*) O, *μεσσήῃ·* N, *μεσσίῃ·* M; *μεσσήην* (i. e. *μέσσῃ* ην) CF; *μέσσην* G (eiecto v. 819 suasit Hermann, cf. ad 818—820) *δ' αὖτε μετ' εἰκάδα*] A (Π⟨*αυρο*⟩ΙΔ'⟨*α*⟩ΥΤϵΜϵΤϵΙΚΑΔ⟨*α*⟩) Ψb (superscr. *δὴ* m. rec. post *αὖτε* K, *μετεικάδα* I) Q, *δέ τε μετεικάδα* D, *δὲ μετ' εἰκάδα* ΩNO, *δ' αὖ μετὰ ϝεικάδα* dubitans Lennep ed. 94 adn., *δὴ μετὰ εἰκάδα* Flach in Goettlingii ed.[3] 284 *μετ' — μηνὸς*] *μετ' εἰκάδ' ἴσασιν* dubitans Schoemann ed. 61 *μηνὸς ἀρίστην*] perierunt in A 821—828 m. rec. in pagina altera folii scriptos exhibet N 821 *ἠοῦς γιγνομένης*] *ἠόος ὀρνυμένης* dubitans Nauck MGrR. V 135 *γιγνομένης*] ΓΙΓΝ⟨*ομε*⟩ΝΗϹ A, *γινομένης* ΩbDIILNQ, *γεινομένης* CKMO *ἐπὶ δείελα*] ϵΠΙΔϵΙϵ⟨*λα* A, *ἐπὶ δεῖλα* G, *ἐπιδείελα* CDNQ *δ' ἐστὶ χερείων*] non servavit A 822 *ἡμέραι — ὄνειαρ*] *ημερ*⟩ΑΙϵ⟨*ισ*⟩ΙΝϵΠ⟨*ιχθονιοις μεγ' ονειαρ* A *ἐπιχθονίοις*] *ἐπὶ χθονίοις* K, acc. gravis postea deletus, *θονι* litterae in ras. I 823 *δ'*] *δὲ* D *ἄλλαι*] ΑΛΛΑ⟨*ι* A *μετάδουποι*] *μεταδο*⟩ΥΠΟΙ A, *μετὰ δοῦποι* ex *μετάδουποι* m. post. factum, *μεταδοῦποι* (relicto acc. circumfl.) m[3] D *ἀκήριοι*] ΑΚΗ⟨*ριοι* A *οὔ τι φέρουσαι*] non conservata in A

ἄλλος δ' ἀλλοίην αἰνεῖ, παῦροι δὲ ἴσασιν.
ἄλλοτε μητρυιὴ πέλει ἡμέρη, ἄλλοτε μήτηρ.
τάων εὐδαίμων τε καὶ ὄλβιος, ὃς τάδε πάντα
εἰδὼς ἐργάζηται ἀναίτιος ἀθανάτοισιν,
ὄρνιθας κρίνων καὶ ὑπερβασίας ἀλεείνων.

---

824 Orac. Sib. XII 289 sq. ὧραι γὰρ παντοῖαι (Alexandre, πάντα libri) .... τὸ δ' οὐχ ἅμα πάντες ἴσασιν Archestr. Fr. 38, 4 Br. παῦροι γὰρ ἴσασιν* Aureum carm. 56 παῦροι συνίσασιν* 825 Quint. Smyrn. VIII 473 ἄλλοτε γάρ τε φίλη πέλει ἠώς, ἄλλοτε δ' ἐχθρή 826 cf. Pseudorph. Lith. 57 Ab. τάων ἡμίθεός τε καὶ ὄλβιος ὃς κ' ἐφίκηται 828 cf. Pseudophocyl. 69 B.[4] ὑπερβασίαι δ' ἀλεγειναί, unde Orac. Sib. II 101 ὑπερβασίη δ' ἀλεγεινή II 142 ὑπερβασίη δ' ἀλεγεινόν

---

825 Gell. Noct. Att. XVII 12, 4 H. *versus, inquit* (Favorinus), *est longo hominum aevo probatus* 'ἄλλοτε — μήτηρ' Stob. CV 36 (IV 23 M.) 'Ἡσιόδου Ἔργων· 'ἄλλοτε — μήτηρ' Suid. v. ἄλλοτε (I a 237 B.) Pseudodiogenian. II 77 Gregor. Cypr. I 59 Macar. I 90 Apostol. II 25 (Paroemiogr. Gr. I 208, 10; II 99, 5; 142, 7; 272, 5) 'ἄλλοτε — μήτηρ' Eust. Hom. 560, 17 οὕτω καὶ Ἡσίοδος τὰς μὲν τῶν ἡμερῶν μητέρας λέγει, τὰς χρηστὰς δηλαδή, τὰς δὲ μητρυιὰς εἶναί φησι, τὰς μὴ ἀγαθάς (cf. ad 765)

---

824 δ'] δὲ D ἀλλοίην] αλλο>IHN A παῦροι] ΠΑΥ<ροι A δὲ ἴσασιν] periit in A, δέ τ' (τι O) ἴσασιν ΩΨΦ; τ' ferri posse in versu 'minime Hesiodio' censuit Heinrich Epimetr. ap. Twesten l. c. 69, inculcatum esse vidit Lennep ed. 94 adn. 825—828 eiecit Steitz l. c. 181; cf. ad 828
825 μητρυιή] μητ>ΡΥΪΗ A, μητρυ///ή (ι eraso) C, μητρυὴ DL Stobaei codd. SA, μητρυιὰ Ωb ἡμέρη] ΗΜΕΡ<η A, superscr. α O, ἡμέρα I ἄλλοτε μήτηρ] non servavit A 826 εὐδαίμων — ὄλβιος] ευ>ΔΑΙΜΩΝΤ<ε>ΚΑΙ ΟΛΒΙΟ<ς A ὃς — πάντα] perierunt in A 827 εἰδὼς] ΕΙΔΩ<ς A ἐργάζηται] A (ε>ΡΓΑΖΗΤΑΙ) ΩIKLΦ, ἐργάζεται DM ἀναίτιος ἀθανάτοισιν] clausula periit in A 828 aliunde huc reiectum esse putat Goettling ed.[2] 248 ὄρνιθας] ΟΡ<νιθ>ΑΣ A κρίνων] ΚΡΙ<νω>Ν A, κρίν///ν m. recentissima superscr. ω D ὑπερβασίας ἀλεείνων] non servavit A ὑπερβασίας] ας m. poster. in ην mut. D, ὑπερβασί<ας (litterae extremae interciderunt) N 828 cf. 'Procli' scholion: τούτοις δὲ ἐπάγουσί τινες τὴν Ὀρνιθομαντείαν, ἅτινα Ἀπολλώνιος ὁ Ῥόδιος ἀθετεῖ

Subscriptio: ΗΣΙΟΔΟ<υ εργα> ΚΑΙ | <ημε>ΡΑΙ A, τέλος ἔργων καὶ ἡμερῶν ἡσιόδου m[1] (bis iterata manibus aliis: τέλος σὺν θεῷ τοῦ σοφωτάτου ἡσιόδου) C; τέλος σὺν θεῷ τοῦ ἡσιόδου D; τέλος ἔργων καὶ ἡμερῶν ἡσιόδου + στίχοι ωκ̄ + (rubra tinctura) F, τέλος τῶν ἡσιόδου ἔργων καὶ ἡμερῶν (rubro) I, τέλος τῶν ἔργων καὶ ἡμερῶν τοῦ ἡσιόδου K, τέ<λος σὺν (tineis comesa) θεῷ ἔργων καὶ ἡμερῶν ἡσιόδου L; τέλος τέλος τέλος τέλος τέλος σὺν θεῷ τῶν ἔργων καὶ ἡμερῶν ἡσιόδου M, τέλος· (compendio scr.) O, τέλος σὺν θεῷ τῶν ἔργων καὶ ἡμερῶν (pars folii abrepta, in qua ἡσιόδου scriptum fuisse videtur) m. rec. Q; subscriptione carent E (pars rec.) GN

ΑΣΠΙΣ

NOTAE LIBRORUM

A = papyrus Raineri archiducis Austriae, nunc bibl. caesareae Vindobonensis L. P. 21—29 saec. IV

B = fragmentum (v. 75—298), quod extat in codice Parisino bibl. nationalis 'supplem. graec. 663' saec. XII
C = fragmentum alterum (v. 87—138), quod in eodem codice Parisino invenitur, saec. XII
D = cod. Mediolanensis bibl. Ambrosianae C 222 inf. saec. XIII
E = cod. Florentinus bibl. Laurentianae XXXII 16 saec. XIII (1281)

F = cod. Parisinus bibl. nationalis 2773 saec. XIV

G = cod. Parisinus bibl. nationalis 2772 saec. XIV
H = cod. Florentinus bibl. Laurentianae XXXI 32 saec. XV
I = cod. Londinensis Harleianus 5724 musei Britannici saec. XIV

K = cod. Romanus bibl. Casanatensis 356 saec. XIV
L = cod. Florentinus bibl. Laurentianae conv. suppress. 158 saec. XIV
M = cod. Parisinus bibl. nationalis 2883 saec. XV

Ex his adnumerandi sunt

classis Ω { genti a (Ωa) codices BCDF; genti b (Ωb) codices GHI }

classis Ψ { genti a (Ψa) codex E; genti b (Ψb) codices KLM }

Genus mixtum

N = cod. Venetus bibl. Marcianae IX 6 saec. XIV
O = cod. Parisinus bibl. nationalis 2708 saec. XV

recensio Triclinii: cod. Venetus bibl. Marcianae 464 saec. XIV (1316—1320)

ΥΠΟΘΕΣΕΙΣ

A

Τῆς Ἀσπίδος ἡ ἀρχὴ ἐν τῷ τετάρτῳ Καταλόγῳ φέρεται μέχρι στίχων ν' καὶ ς'. διὸ καὶ ὑπώπτευκεν Ἀριστοφάνης ὡς οὐκ οὖσαν αὐτὴν Ἡσιόδου, ἀλλ' ἑτέρου τινὸς τὴν Ὁμηρικὴν ἀσπίδα μιμήσασθαι προαιρουμένου.

Μεγακλῆς ὁ Ἀθηναῖος γνήσιον μὲν οἶδε τὸ ποίημα, ἄλλως δὲ ἐπιτιμᾷ τῷ Ἡσιόδῳ. ἄλογον γάρ φησι ποιεῖν ὅπλα Ἥφαιστον τοῖς τῆς μητρὸς ἐχθροῖς. Ἀπολλώνιος δὲ ὁ Ῥόδιος ἐν τῷ τρίτῳ φησὶν αὐτοῦ εἶναι ἔκ τε τοῦ χαρακτῆρος καὶ ἐκ τοῦ πάλιν τὸν Ἰόλαον ἐν τῷ Καταλόγῳ εὑρίσκειν ἡνιοχοῦντα Ἡρακλεῖ. καὶ Στησίχορος δέ φησιν Ἡσιόδου εἶναι τὸ ποίημα.

A] argumenti partem priorem edidi e codd. DFGKLMNO; codicis K satellites sunt Vaticani 1332 (saec. XIV) et 1405 (saec. XV); ex L descriptus est Laurentianus XXXI 20 (saec. XV)

Inscriptio: ὑπόθεσις σὺν θεῷ τῆς ἀσπίδος ἐν συντόμῳ D, *ὑπόθεσις τῆς ἀσπίδος ἐν συντόμῳ* FNO, *ὑπόθεσις τῆς ἀσπίδος ἡσιόδου* G, *ὑπόθεσις τῆς*[ω] *ἡσιόδου ἀσπίδος* KLM 1 *τετάρτῳ*] *Δ'* G, *δ'* O *καταλόγῳ*] *τῶν καταλόγων* M 2 *στίχων*] om. in textu, m. rec. in marg. summo adscr. K *ν' καὶ ς'*] Petit in Iurispr. Rom. et Attic. ed. Wesseling III 560, *ν̄ καὶ σ̄* GKLMN, *ν' καὶ σ'* O, *σ̄ν̄* D, *η̄ καὶ ε̄* F, *ν' καὶ δ'* Bauermeister Observ. in Hes. carm. 9 *καὶ*] om. D *ὑπώπτευκεν*] *ἐπόπτευκεν* K *Ἀριστοφάνης*] *ὁ ἀριστοφάνης* KLMNO; *οὐχ ὁ κωμικός, ἀλλά τις ἕτερος γραμματικός* addunt KLM 3 *αὐτὴν*] om. G *τὴν — 4 προαιρουμένου*] DFGN, *προαιρουμένου* (*προαιρομένου* K) *τὴν ὁμηρικὴν ἀσπίδα μιμήσασθαι* KLM

Alteram argumenti partem exhibent GKNO, omittunt DFLM, cf. ad argum. *B* 5 *Μεγακλῆς*] *Μεγακλείδης* dubitans Schoemann ed. 137 adn. *ὁ*] om. N *μὲν*] om. K *ἄλλως — 6 Ἡσιόδῳ*] *καὶ ἄλλως ἐπιτιμᾶται ἡσίοδος* KNO (*καὶ ἄλλως* et *ἐπ* litterae in NO rubra tinctura picta sunt) 6 *φησι ποιεῖν*] *φησιν ποιεῖ* G 7 *μητρὸς*] *μρ͂ς* GN *Ἀπολλώνιος*] *καὶ* praemittit G *τρίτῳ*] *τρίτῳ κεφαλαίῳ* K *φησὶν*] *φασὶν* G 8 *πάλιν*] G, *πάλαι* KNO 9 *ἐν*] *καὶ* K *Ἡρακλεῖ*] *τῷ ἡρακλεῖ* K *καὶ Στησίχορος δέ*] GNO, *στησίχορος δέ* K *Στησίχορος*] nomen corruptum esse censet Paley ed.[1] 110 adn. 9 10 *ποίημα*] in codicibus, qui alteram argumenti partem continent, Aristophanis de Scuto arbitrium iterum refertur his verbis: *ὑπώπτευκε* (*ὑπόπτευκε* K) *δὲ ἀριστοφάνης τὴν ὁπλοποιίαν ταύτην οὐκ οὖσαν ἡσιόδου, ἀλλ' ἑτέρου τινὸς θελήσαντος μιμήσασθαι τὴν ὁμηρικὴν*

Β

Τάφιοι στρατεύσαντες ἐπὶ τὰς Ἠλεκτρύωνος βόας ἀνεῖλον τοὺς τῆς Ἀλκμήνης ἀδελφοὺς τῶν θρεμμάτων ὑπεραγωνιζομένους. τοῦ δὲ Ἀμφιτρύωνος αὐτῇ βουλομένου συνελθεῖν, αὕτη οὐ πρότερον ὑπέσχετο, πρὶν ἢ παρὰ τῶν ἀδελφοκτόνων εἰσπράξηται τιμωρίαν. ὁ δὲ ἐπιστρατεύσας ἀνεῖλεν αὐτούς. κατὰ δὲ τὴν αὐτὴν νύκτα ἀμφότεροι συνέρχονται αὐτῇ, ὅ τε Ζεὺς καὶ ὁ Ἀμφιτρύων, ὁ μὲν δὴ ἐκ τοῦ πολέμου ὑποστρέψας, Ζεὺς δὲ βουληθεὶς βοηθὸν ἀνθρώποις γεννῆσαι. ἡ δὲ κύει ἐκ μὲν Ἀμφιτρύωνος Ἰφικλέα, ἐκ δὲ Διὸς Ἡρακλέα. ὃς καὶ ἐπὶ Κύκνον τὸν Ἄρεος υἱὸν ἡνίοχον ἔχων Ἰόλαον στρατεύεται, ὃς τοὺς εἰς Πυθὼ τὰς δεκάτας ἄγοντας περιεσύλα. σκεπασθεὶς οὖν ἡφαιστοτεύκτῳ ἀσπίδι πρόσεισιν εἰς Τραχῖνα πρὸς Κήυκα. συμβαλὼν δὲ τῷ Κύκνῳ αὐτὸν μὲν ἀναιρεῖ, τὸν δὲ Ἄρεα ὑπερασπίζοντα τοῦ υἱοῦ κατὰ τὸν μηρὸν τιτρώσκει καὶ οὕτως ἔρχεται πρὸς Κήυκα. ἦν δὲ ὁ Κύκνος Κήυκος γαμβρὸς ἐπὶ θυγατρὶ Θεμιστονόῃ.

Γ

Οἱ Τάφιοι καὶ Τηλεβόαι εἰς ἔριν ἐλθόντες πρὸς τοὺς ἀδελφοὺς τῆς Ἀλκμήνης ἐφόνευσαν αὐτούς. αὐτὴ δὲ τὸν ἑαυτῆς γάμον

ἀσπίδα (*τὴν ὁμηρικὴν ἀσπίδα θελήσαντος μιμήσασθαι* G, *τὴν ὁμήρου θελήσαντος μιμήσασθαι ἀσπίδα* NO) GKNO

Β post priorem argumenti *Α* partem invenitur in DFGNO his praemissis: *κέχρηται δὲ ἐν ἀρχῇ ὑποθέσει τοιαύτη·* 1 *Ἠλεκτρύωνος*] *ἠλεκτρυῶνος* D *ἀνεῖλον*] *ἀνεῖλε* N 2 *ἀδελφοὺς — ὑπεραγωνιζομένους*] *ἀδελφοὺς· τὸν γοργοφώνην δηίμαχον καὶ κοτῶν* (sic) *θρεμμάτων ὑπερασπιζομένους* F 3 *αὕτη*] *ἡ δὲ* DNO 4 *παρὰ*] superscr. in D, om. FNO, *περὶ* G *εἰσπράξηται*] *εἰσπράξιται* (η superscr.) D 6 *αὐτῇ*] *ἐν αὐτῇ* G *ὅ τε Ζεὺς*] *ὁ Ζεὺς τὲ* D *ὁ*] ante *Ἀμφιτρύων* om. O 7 *δὴ*] scripsi, *δὲ* D, om. libri ceteri *ἐκ*] *ἀπὸ* DNO *βουληθεὶς — 8 γεννῆσαι*] F, *βουληθεὶς ἀνθρώποις βοηθὸν γεννῆσαι* NO, *ἀνθρώποις βοηθὸν βουληθεὶς γεννῆσαι* D 8 *κύει*] *ἐκύει* D *ἐκ μὲν*] *μὲν ἐξ* NO 9 *καὶ*] om. FGO *Ἄρεος*] DGN, *ἄρεως* FO 10 *ἔχων*] *ἔχον* F *ὃς*] om. F *τοὺς — τὰς*] G (*τὰς* superscr. in G) NO, *τοὺς εἰς πυθὼ* F, *εἰς πυθὼ τοὺς* D *δεκάτας*] cf. argum. *Δ* 23, rest. Boissonade ed. 178, *δεκάδας* libri 11 *ἡφαιστοτεύκτῳ*] *ἡφαιστοτευκτο* F *πρόσεισιν*] *πρόσεισι* DG, *πρόεισιν* F 12 *Τραχῖνα*] *τροχῖνα* D 13 *Ἄρεα*] D, *ἄρην* libri ceteri *κατὰ τὸν μηρὸν*] *κατὰ μηρὸν* DNO 14 *Κήυκος γαμβρὸς*] D, *γαμβρὸς κήυκος* FG, *γαμβρὸς ἐπὶ θυγατρὶ θεμιστονόῃ τοῦ κήυκος* NO 15 *θυγατρὶ*] *θυγατέρα* F *Θεμιστονόῃ*] *θεμιστονίῃ* F, in quo argumenti *Ε* clausula adiecta est

Γ] argumentum integrum legitur in cod. V = Veneto Marciano IX 23 (saec. XV), de quo exposui Wien. St. XIV 144 sq.; antecedunt argumenta *Α* cum *Β*, secuntur haec: *Τάφιοι δὲ καὶ Τηλεβόαι ἐκλήθησαν ἀπὸ τοῦ Τάφου καὶ Τηλεβόου* addita clausula argumenti *Ε* '*Ἔλειος' κτλ.*; postea haec leguntur: *τοιαύτην* (correxi l. c. 144, *οὐ ταυτὴν* V) *ὑπόθεσιν ἔγραψαν·*

ἐκήρυττε γαμεῖσθαι τῷ δυναμένῳ διεκδικῆσαι τὸν θάνατον τῶν ἑαυτῆς ἀδελφῶν. περιερχομένη οὖν ἐπὶ τούτῳ ἦλθε καὶ εἰς Θήβας, ὅπου ἐβασίλευσε τότε Ἀμφιτρύων. κἀκεῖνος ὑπέσχετο τοῦτο αὐτῇ. καὶ δὴ λαβὼν αὐτὴν γυναῖκα πρὶν συγγενέσθαι αὐτῇ ἐστράτευσε κατὰ τῶν Ταφίων. οὐ γὰρ εἴα αὐτὸν ἐκείνη μιχθῆναι αὐτῇ, πρὶν ἂν λάβῃ δίκην παρὰ τῶν ἀδελφοκτόνων. στρατεύσας οὖν κατ' ἐκείνων ἀνεῖλεν αὐτούς, ἐπανήξας δὲ νικητὴς συνεγένετο τῇ γυναικί. ὅτε δὴ καὶ Ζεὺς συνῆλθεν αὐτῇ, γεννᾷ οὖν ἐκ μὲν Ἀμφιτρύωνος Ἰφικλέα, ἐκ δὲ Διὸς Ἡρακλέα. ὃς δὴ εἰς Τραχῖνα πρὸς Κήυκα πορευόμενος ὁδοῦ πάρεργον Κύκνον τὸν Ἄρεως τοὺς εἰς Δελφοὺς τὰς δεκάτας κομίζοντας περισυλοῦντα φονεύει ἡνίοχον ἔχων Ἰόλαον τὸν ἀδελφιδοῦν ἡφαιστοτεύκτῳ τε ἀσπίδι σκεπασθεὶς καὶ τὴν Ἀθηνᾶν ἔχων συνεργόν. Ἄρην δὲ ὑπερασπίζοντα τοῦ υἱοῦ τιτρώσκει κατὰ τὸν μηρὸν οὕτω τῆς Ἀθηνᾶς συμβουλευσάσης. καὶ οὕτω πρὸς Κήυκα ἔρχεται ἔχων καὶ τὰ τοῦ Κύκνου ὅπλα. Κήυξ δὲ Κύκνον ἐντίμως θάπτει. καὶ γὰρ ἦν ὁ Κύκνος γαμβρὸς αὐτῷ ἐπὶ θυγατρὶ Θεμιστονόῃ.

Δ.

Ἀμφιτρύων καὶ Ἠλεκτρύων υἱοὶ Ἀλκαίου ἐγένοντο· τῷ δὲ Ἠλεκτρύωνι πρεσβυτέρῳ ὄντι τὴν ἡλικίαν ἀποθνήσκων ὁ Ἀλκαῖος ἐπέτρεψεν ἅπασαν τὴν ἑαυτοῦ οὐσίαν προστάξας, ἐπειδὰν ὁ ἀδελφὸς ἀνδρωθῇ Ἀμφιτρύων, ἀποδοῦναι τὴν καταλειφθεῖσαν μοῖραν τῆς περιουσίας. ἀνδρωθεὶς δὲ ὁ Ἀμφιτρύων καὶ ἀπαιτῶν παρὰ τοῦ Ἠλεκτρύωνος ἀδελφοῦ Τιρύνθου τότε βασιλεύοντος τὸ ἐπιβάλλον αὐτῷ μέρος τῆς πατρικῆς οὐσίας ἐπεὶ οὐκ ἐλάμβανεν, ἀγνωμονοῦντος τοῦ ἀδελφοῦ πόλεμον ἐκίνησε κατ' αὐτοῦ καὶ προσκαλεσάμενος Ταφίους καὶ Τηλεβόας εἰς συμμαχίαν καὶ κρατήσας τοῦ ἀδελφοῦ, αὐτὸν μὲν ἀνεῖλε καὶ τοὺς υἱοὺς αὐτοῦ, τῆς δὲ θυγατρὸς Ἀλκμήνης ἐφείσατο. νόμου δὲ ὄντος τὸν κινήσαντα ἐμφύλιον πόλεμον ἐν ἀλλοτρίᾳ χώρᾳ τρία ἔτη καθαίρεσθαι ὁ μὲν Ἀμφιτρύων εἰς Θήβας ἀπῆλθε καθαρθῆναι. ἡ δὲ Ἀλκμήνη ζητοῦσα ἀμύνασθαι τοὺς Ταφίους καὶ Τηλεβόας ἕνεκα τοῦ φόνου

---

8 post *γαμεῖσθαι* V exhibet *ἐκεῖνον* 13 *δεκάτας*] restitui l. c., *δεκάδας* V *περισυλοῦντα*] *περισυλλοῦντα* V 15 *δὲ*] scripsi l. c. 145, cf. argum. *Δ* 38 *E* 40, *τὲ* V

Δ ex M edidi, in quo post priorem argumenti *A* partem legitur: *κέχρηται δὲ ὑποθέσει τοιαύτῃ·* 5 *ἀπαιτῶν*] *ζητῶν* in textu, *ἀπαιτῶν* in marg. M 6 *Τιρύνθου*] *τυρίνθου* M, *Τίρυνθος* Heinrich ed. 42 adn. 8

τοῦ πατρὸς καὶ τῶν ἀδελφῶν προὔθηκε γάμον ἑαυτῆς τῷ ποιήσοντι τὴν ἄμυναν. Ἀμφιτρύων δὲ ὁ πάτρως ἐρασθεὶς αὐτῆς ὑπέσχετο τὴν ἄμυναν ποιήσεσθαι κατ' ἐκείνων καὶ συνθεὶς τὸν γάμον ὤμοσεν ἦ μὴν μὴ πρὶν τῇ Ἀλκμήνῃ συνέσεσθαι πρὶν ἂν τοὺς Ταφίους καὶ Τηλεβόας καταπολεμήσῃ. καὶ οὗτος μὲν συλλέξας στρατιὰν ἐστράτευσεν ἐπὶ τοὺς Ταφίους καὶ Τηλεβόας· Ζεὺς δὲ πολλῶν ὄντων ἐν τῷ τότε χρόνῳ βιαίων καὶ τυραννικῶν καὶ ἀδίκων ἀνθρώπων, ἐν οἷς καὶ Κύκνος ὁ τοῦ Ἄρεος ἦν, ἐν τῷ ναῷ τοῦ Ἀπόλλωνος περισυλῶν μὲν τὰς προσαγομένας δεκάτας τῷ θεῷ, φονεύων δὲ τοὺς προσάγοντας, βουλόμενος τοῖς ἀδικουμένοις παρ' ἑαυτοῦ βοηθόν τινα φῦναι συνεγένετο τῇ Ἀλκμήνῃ τρεῖς ὅλας συνεχεῖς νύκτας. καθ' ὃν χρόνον καὶ τοῦ Ἀμφιτρύωνος ἐκ τῆς νίκης ἐπανελθόντος καὶ τῇ Ἀλκμήνῃ συγκοιμηθέντος συνέλαβεν ἐκ μὲν Διὸς Ἡρακλέα, ἐκ δὲ Ἀμφιτρύωνος Ἴφικλον. εἰπόντος δὲ τοῦ Διὸς τοιάδε, τὸν γεννηθέντα ταύτῃ τῇ νυκτὶ ἔσεσθαι μακρῷ πάντων ἀνδρειότερον καὶ βασιλεύσειν τῶν ἄλλων, ἡ δὲ Ἥρα ζηλοτυπήσασα προήγαγε μὲν τὰς τῆς Ἀλκμήνης ὠδῖνας, ἐπετάχυνε δὲ τὰς τῆς Ἀρχίππης. καὶ αὕτη μὲν ἐγέννησε τὸν Εὐρυσθέα ἑπτάμηνον, ᾧ ἤδη καὶ δέδοται βασιλεύειν κατὰ τὸ τοῦ Διὸς θέσπισμα. Ἀλκμήνη δὲ ἐγέννησε τὸν Ἡρακλέα δεκάμηνον. ὁ οὖν Ἡρακλῆς τῆς μὲν βασιλείας ἀπέτυχεν, ἀνδρειότατος δὲ γενόμενος περιιὼν ἀνῄρει πάντας τοὺς τυράννους· ἐν οἷς καὶ Κύκνον τὸν Ἄρεος λαβὼν μεθ' ἑαυτοῦ Ἰόλαον τὸν Ἰφίκλου συνεργὸν ἀνεῖλε σκεπασθεὶς ἡφαιστοτεύκτῳ ἀσπίδι, Ἄρεα δὲ τοῦ υἱοῦ ὑπερασπίζοντα κατὰ τὸν μηρὸν τιτρώσκει. ἔπειτα δὲ ἔρχεται πρὸς Κήυκα, οὗ γαμβρὸς ἦν ὁ Κύκνος ἐπὶ θυγατρὶ Θεμιστονόῃ.

Ἔλειος καὶ Μήστωρ ἀδελφοί, ἀπὸ Μήστορος Ἱπποθόη· ἣν λαβὼν Πτερέλας ὁ Τάφου τοῦ Τηλεβόου παῖδας ἔσχεν ἑπτά· Ἀντίοχον Χειροδάμαντα Χρομίον Τύραννον Μήστορα Τηλεβόαν Τάφιον.

---

17 κατ' ἐκείνων] (cf. argum. Γ 8 sq.) Boissonade ed. 178, κατ' ἐκεῖνον M 18 τοὺς] cf. argum. Δ 14, om. M 20 Ταφίους] ἐπιταφίους M 23 περισυλῶν] περισυλὼν M δεκάτας] M 29 τοιάδε, τὸν γεννηθέντα] Boissonade l. c., τὸν γεννηθέντα τοιᾶδε M; τοιάδε eiecit Heinrich ed. 43 adn. 9 30 ζηλοτυπήσασα] ζηλωτυπήσασα M 31 ὠδῖνας] ὠδίνας M 32 Εὐρυσθέα] scripsi, εὐρυσθῆα M 33 δέδοται] ἐδέδοτο dubitans Goettling ed.[2] 109 adn. 40 Θεμιστονόῃ] cf. argum. Β 15 Γ 19, θεμιστόνη M 41 Ἱπποθόη] scripsi ex argum. Ε 43, cf. schol. Laur. Apoll. Rhod. Arg. Α 747 (p. 344, 25 K.) 'Μήστορος δὲ θυγάτηρ Ἱπποθόη', καὶ ἱπποθόης M 43 Χειροδάμαντα] χειριδάμαντα M Χρομίον] χρόμιον M

E

Ἀμφιτρύων καὶ Ἠλεκτρύων υἱοὶ Ἀλκαίου· ἦν δὲ ὁ Ἠλεκτρύων ὁ γεραίτερος ἀδελφός. θνήσκων δὲ ὁ Ἀλκαῖος ἐκάλεσε τὸν υἱὸν αὐτοῦ Ἠλεκτρύωνα λέγων αὐτῷ· ἐὰν ἀνδρωθῇ ὁ ἀδελφός σου Ἀμφιτρύων, δὸς αὐτῷ τὴν περιουσίαν, ἥν σοι κατέλειψα χάριν αὐτοῦ. ἀποθανόντος δὲ ἐκείνου ἠνδρώθη μετὰ ταῦτα ὁ Ἀμφιτρύων καὶ ἐζήτησε τὴν πατρικὴν δωρεάν. μὴ διδόντος δὲ τοῦ Ἠλεκτρύωνος, ὃς τῆς Τιρύνθου ἐβασίλευεν, ἐκινήθη κατὰ τοῦ ἀδελφοῦ αὐτοῦ Ἠλεκτρύωνος προσκαλεσάμενος Ταφίους καὶ Τηλεβόας, καὶ ἀνεῖλεν αὐτὸν καὶ τοὺς υἱοὺς αὐτοῦ, τὴν δὲ θυγατέρα αὐτοῦ Ἀλκμήνην ὡς γυναῖκα κατέλειψεν. ἦν δὲ νόμος τὸν ποιήσαντα ἐμφύλιον πόλεμον καθαίρεσθαι ὑπὸ ἄλλης χώρας χρόνους τρεῖς. ποιήσας οὖν ὁ Ἀμφιτρύων ἐμφύλιον πόλεμον ἀπῆλθεν εἰς Θήβας καθαρθῆναι. ἡ δὲ Ἀλκμήνη περιπατοῦσα ἔλεγεν, ὅς τις ἂν εὑρεθῇ ἀμυνόμενος τὸν φόνον τῶν ἀδελφῶν καὶ τοῦ πατρὸς αὐτῆς, ἵνα λάβῃ αὐτὴν ὡς γυναῖκα· καὶ ἐλθοῦσα εἰς Θήβας εἶπεν οὕτως. ἀκούσας δὲ ὁ Ἀμφιτρύων εἶπεν ἐκδικητὴν γενέσθαι τοῦ φόνου. ἠράσθη γὰρ αὐτῆς ὡς ὡραίας· καὶ ἀνεψιὰ αὐτοῦ ἦν. ἐτέθη δὲ ὅρκος ἐν αὐτῷ μὴ μιγῆναι πρὶν ἢ θανατώσει τοὺς Ταφίους καὶ Τηλεβόας. καὶ ἀπελθὼν Ἀμφιτρύων ἐπολέμει αὐτούς. ἐμνήσθη οὖν ὁ Ζεὺς καὶ ἠθέλησε ποιῆσαι βοηθὸν θεῶν καὶ ἀνθρώπων, διότι ἐν τῷ ναῷ τοῦ Ἀπόλλωνος ἦν τις Κύκνος περισυλῶν τὰς δεκάτας τὰς τῷ Ἀπόλλωνι προσαγομένας καὶ φονεύων καὶ τοὺς προσαγομένους, υἱὸς Ἄρεος ὑπερασπίζοντος αὐτοῦ. καὶ συνῆλθεν ἐπὶ τρισὶ νυξὶ τῇ Ἀλκμήνῃ· καὶ συνέλαβε τὸν Ἡρακλέα. ἐλθόντος δὲ τοῦ Ἀμφιτρύωνος ἀπὸ τοῦ φόνου τῶν Ταφίων καὶ Τηλεβοῶν συνευνάσθη τῇ Ἀλκμήνῃ· καὶ συνέλαβε τὸν Ἴφικλον.

E extat in KL post priorem argumenti *A* partem his praemissis: *κέχρηται δὲ ἐν ἀρχῇ ὑποθέσει τοιαύτῃ·* 1 *Ἠλεκτρύων*] *ἀλεκτρύων* K 2 *ὁ*] om. L *γεραίτερος*] dubitans T. Mommsen Rh. Mus. VI 299, *γηραιὸς* libri *ἐκάλεσε*] K, *ἐκέλευσε* L 4 *κατέλειψα*] *κατέλιπον* cod. Vatic. 1405 7 *ὃς τῆς*] *ὃσ τις* K *Τιρύνθου*] *τυρίνθου* libri *ἐβασίλευεν*] *ἐβασίλευσεν* L 8 *καὶ*] om. K 11 *ἐμφύλιον*] L, *ἐμφύλ* K, *ἔμφυλον* cod. Vatic. 1405 *ὑπὸ*] *ἀπὸ* K *χρόνους τρεῖς*] K, *τρεῖς χρόνους* L 12 *πόλεμον*] K, *φόνον* L 16 *γενέσθαι*] *γίνεσθαι* T. Mommsen l. c. 299 sq. 18 *ὅρκος*] KL, *ὁ ὅρκος* cod. Vatic. 1332, *ἀρὴ* T. Mommsen l. c. 300 *πρὶν ἢ*] *πρὶν καὶ* T. Mommsen l. c. *θανατώσει*] *θανατώσῃ* cod. Vatic. 1405 19 *καὶ ἀπελθὼν*] *ἀπελθὼν δὲ* cod. Laurent. XXXI 20 20 *ἐμνήσθη*] L, *ἐμνήσθην* K 21 *τις*] *τίς* K, *τὶς* L 22 *δεκάτας*] *δεκάδας* K 23 *υἱὸς*] om. L *Ἄρεος*] *ἄρρεος* K 24 *Ἀλκμήνῃ*] *ἀλμήνη* K 26 *συνευνάσθη*] *συνευνασθεὶς* L

ἐγέννησεν οὖν δύο παῖδας, τὸν μὲν Ἡρακλέα ἀνδρεῖον καὶ μεγαλόφρονα, τὸν δὲ Ἴφικλον μωρὸν καὶ ἄνανδρον. λέγεται δὲ τὸν Δία τῇ Ἀλκμήνῃ ⟨συνελθόντα⟩ ἀνελθεῖν εἰς τὸν οὐρανὸν καὶ εἰπεῖν, ὅτι ὃς γεννηθῇ ἐν ταύτῃ τῇ νυκτί, ἔσται φρόνιμος ἀνδρεῖος πλούσιος καὶ βασιλεύς. ζηλοτυπήσασα δὲ ἡ Ἥρα ἔκλεισε τὰς ὠδῖνας τῆς Ἀλκμήνης, τῆς δὲ Ἀρχίππης ἀνέῳξε. καὶ ἐγέννησεν Ἀρχίππη τὸν Εὐρυσθέα ἑπτάμηνον· καὶ ἐδόθη ἐκείνῳ τὸ εἶναι βασιλεὺς καὶ πλούσιος. γεννηθεὶς δὲ ὕστερος ὁ Ἡρακλῆς ἐκτήσατο τὸ ἀνδρεῖος εἶναι καὶ φρόνιμος. κινηθεὶς οὖν Διὸς βουλῇ — διὰ τοῦτο γοῦν συνῆλθε Ζεὺς τῇ Ἀλκμήνῃ — ἀπῆλθε πρὸς τὸν ναὸν τοῦ Ἀπόλλωνος, ἔνθα οὖν καὶ ὁ Κύκνος ᾤκει, λαβὼν μετ᾽ αὐτοῦ καὶ τὸν Ἰόλαον τὸν Ἰφίκλου υἱὸν συνεργὸν τῆς κατ᾽ αὐτοῦ μάχης. καὶ ἀπελθὼν ἀπέκτεινεν αὐτὸν σκεπασθεὶς ἡφαιστοτεύκτῳ ἀσπίδι, τὸν δὲ Ἄρην ὑπερασπίζοντα τοῦ υἱοῦ κατὰ μηρὸν τιτρώσκει. καὶ οὕτως ἔρχεται πρὸς Κήυκα. ἦν δὲ ὁ Κύκνος γαμβρὸς τοῦ Κήυκος ἐπὶ θυγατρὶ Θεμιστονόῃ.

Ἔλειος καὶ Μήστωρ ἀδελφοί, ἀπὸ Μήστορος Ἱπποθόη· ἣν λαβὼν Πτερέλας ὁ Τάφου τοῦ Τηλεβόου παῖδας ἔσχεν ἑπτά· εἰσὶ δὲ οὗτοι· Ἀντίοχος Χειροδάμας Χρομίος Τύραννος Μήστωρ Τηλεβόας Τάφιος.

---

27 παῖδας] παῖ K (Δ above) 28 λέγεται] λέγουσι T. Mommsen l. c. 300 δὲ] δὴ T. Mommsen l. c. 29 ⟨συνελθόντα⟩] supplevi, om. libri 34 γεννηθεὶς — Ἡρακλῆς] his verbis puncta subiecta sunt in L ὕστερος] L, ὕστερον K 35 post φρόνιμος interiecta sunt ἀνδρεῖος δὲ ὑπὲρ πάντας καὶ φρονιμώτατος (K, φρονιμώτερος L) in KL; punctis subiectis haec deleta in L 36 γοῦν] γοὺν K 37 ἔνθα — ᾤκει] L, ἔνθα ἦν ὁ κύκνος καὶ ὤκει K 42 τοῦ] om. L Θεμιστονόῃ] θεμιστόνῃ KL 43 quae inde a nomine Ἔλειος secuntur, etiam in F leguntur Ἔλειος] cod. Vatic. 1332 Laurent. XXXI 20, ἔλειος L, ἔλεος FK Ἱπποθόη] FK, cf. ad argum. Δ 41; δὲ anteposuit T. Mommsen l. c., καὶ ἱπποθόης L ἣν] ἦν K 44 Πτερέλας] F, ὁ πτερέλας libri ceteri Τηλεβόου] τηλέβου F ἔσχεν] ἴσχει F ἑπτά] καὶ L 45 Χρομίος] χρόμιος KL, χρίμιος F 46 Τάφιος] τάφος F

Ἢ οἵη προλιποῦσα δόμους καὶ πατρίδα γαῖαν
ἤλυθεν ἐς Θήβας μετ' ἀρήιον Ἀμφιτρύωνα
Ἀλκμήνη, θυγάτηρ λαοσσόου Ἠλεκτρύωνος·
ἥ ῥα γυναικῶν φῦλον ἐκαίνυτο θηλυτεράων

---

1 ψ 120 πηούς τε προλιπὼν καὶ πατρίδα γαῖαν* 4 γ 282 ὃς ἐκαίνυτο φῦλ' ἀνθρώπων I 130 αἳ κάλλει ἐνίκων φῦλα γυναικῶν λ 386 γυναικῶν θηλυτεράων

---

4 sq. Gregor. Theol. Carm. II 2, 27, 3 sq. . . εἰσορόων | εἶδος μειλιχίην τε σαοφροσύνην τε γυναικός, | τοῖς φῦλον πασέων καίνυτο θηλυτέρων

1—47 Schol. Laur. Apoll. Rhod. Arg. *A* 747 (p. 344, 13 K.) ἡ Τάφος νῆσός ἐστι μία τῶν Ἐχινάδων, ἣν οἰκοῦντες ἄνδρες ληστρικώτατοι τὸν τρόπον καὶ εἰς Ἄργος ἐπελθόντες τὰς τοῦ Ἠλεκτρύωνος βόας ἀπήλασαν, τοῦ πατρὸς Ἀλκμήνης. γενομένης δὲ μάχης καὶ ὁ Ἠλεκτρύων καὶ οἱ τούτου παῖδες ἀνῃρέθησαν. διὸ Ἀλκμήνη μετέστη καὶ ἀνεκήρυξεν τὸν ἑαυτῆς γάμον τῷ τιμωρησαμένῳ τὸν πατρῷον φόνον. τιμωρησάμενος δὲ Ἀμφιτρύων ἔγημεν. ἡ ἱστορία σαφῶς ἐν τῇ Ἀσπίδι παρ' Ἡσιόδῳ 1 Schol. Hom. Ven. B Townl. *T* 342 (IV 223, 16 D. et VI 305, 4 M.) ἐῆος δὲ τοῦ ἀγαθοῦ, ἀπὸ τοῦ ἠῶ· ὅθεν καὶ τὸ 'ἠοίη προλιποῦσα δόμους' (ὅθεν καὶ 'ἠοίη' Schol. Townl.)

Inscriptio: ΗCΙΟΔΟΥ ΑCΠΙC A, ΑCΠΙC papyrus Parisina bibl. nat. supplem. graec. 1099 (cf. Wilcken Sitzungsb. d. preuss. Akad. 1887 p. 808), ἐκ τῆς ἡσιόδου ἀσπίδος m. rec. B, ἡσιόδου ἀσπὶς EFIM, ἀσπὶς ἡσιόδου N; ceterum cf. ad Argum. *A* 1—56 e quarto Catalogi libro desumptos esse in Argumento *A* 1 legimus; contra ab Hesiodi imitatore quodam panctos iudicavit Leo Ind. schol. Georg. Aug. 1894 aest. 14 1 ἢ οἵη] periit in A, ἡ οἵη I, ἠοίη schol. Ven. B Townl. Hom., οἵη om. ἢ superscr. δὲ m² G, ἢ οἵη (superscr. α) L προλιποῦσα] προ⟩ΟΛΙΠΟΥCΑ A δόμους καὶ] ΔΟΜΟΥ⟨ς⟩Κ⟨αι A πατρίδα γαῖαν] non servavit A 2 ἤλυθεν] praeter N periit in A ἐς] εἰς HL ἀρήιον] ΑΡΗ⟨ιον A Ἀμφιτρύωνα] desideratur in A, ἀμφιτρύονα IL 3 Ἀλκμήνη] αλκμ⟩ΗΝΗ A, ἀλκμύνη I, ἀλμήνη F λαοσσόου] ΛΑΟCCΟ⟨ου A Ἠλεκτρύωνος] cf. Apollonius Rhod. Arg. *A* 748; periit in A, ἠλεκτρυῶνος DEF, ἀμφιτρύωνος superscr. ἠλεκ m. rec. K; Ἠλέκτρωνος (et v. 16, 35 Ἠλεκτρώνη) coll. ΑΛΕΚΤΡΩΝΑ Rhodiae nymphae nomine I. I. M. AEG. I 677, 22 (saec. IV vel III) Wilamowitz Herm. XIV 459, qui sententiam suam ipse missam fecit coll. Eurip. Alc. 838; tamen formam υ vocali carentem poetarum Latinorum imitatione commendari posse putavit Fleckeisen JbfPh. 1880 p. 605 sqq.; aut Ἠλεκρύωνος (coll. ἄρκος = ἄρκτος) aut Ἠλετρύωνος (assimilatione admissa coll. ΕΛΕΤΡΥFΟΝΑ = ἀλεκτρυόνα in vase Apul. ap. Kretschmer d. griech. Vaseninschr. 225) pronuntiandum esse censuit Peppmüller BPhW. 1889 c. 1041 4 A nihil servavit nisi ··γυναι⟩ΚΩΝΦΥΛΟΝΕ⟨καινυτο·· φῦλον] φῦλα Sittl ed. 325 et 530 θηλυτεράων] superscr. ων H

εἴδεΐ τε μεγέθει τε· νόον γε μὲν οὔ τις ἔριζε
τάων, ἃς θνηταὶ θνητοῖς τέκον εὐνηθεῖσαι.
τῆς καὶ ἀπὸ κρῆθεν βλεφάρων τ' ἄπο κυανεάων
τοῖον ἄηθ' οἷόν τε πολυχρύσου Ἀφροδίτης.
ἣ δὲ καὶ ὣς κατὰ θυμὸν ἑὸν τίεσκεν ἀκοίτην,

---

5 *Β* 58 εἶδός τε μέγεθός τε* *θ* 371 οὔ τις ἔριζεν* 6 cf. *Β* 821 θεὰ βροτῷ εὐνηθεῖσα 9 sq. *η* 67 καί μιν ἔτισ' ὡς οὔ τις ἐπὶ χθονὶ τίεται ἄλλη

---

7 sq. Hymn. Hom. Ven. 174 sq. κάλλος δὲ παρειάων ἀπέλαμπεν | ἄμβροτον, οἷόν τ' ἐστιν ἐυστεφάνου Κυθερείης Hymn. Hom. Cer. 276 περί τ' ἀμφί τε κάλλος ἄητο Vergil. Aen. I 403 (de Venere) *ambrosiaeque comae divinum vertice odorem | spiravere* cf. Hermipp. Fr. 82, 7 (I 250 K.) (οἶνος) οὗ καὶ ἀπὸ στόματος στάμνων ὑπανοιγομενάων (corr. Casaubonus, ἀνοιγομένων CE) | ὄζει ἴων κτλ. 7 cf. Soph. Trach. 990 ἀπὸ κρατὸς βλεφάρων θ' cf. ad Theog. 980

---

7 Et. gen. v. ἀπὸ κυανέων (schol.)· 'τῆς καὶ — κυανέων' Schol. Hom. Ven. A *Π* 548 (II 114, 6 D. = Herodian. II 102, 33 L.) (cf. Et. Gud. 304, 54 Anecd. Par. IV 67, 13 sqq. Cr.) . . καὶ Ἡσίοδος οὕτως ἐξεδέξατο εἰπὼν τὸ 'τῆς καὶ ἀπὸ κρῆθεν βλεφάρων' unde Et. gen. v. κατακρῆθεν· τοῦτο καὶ Ἡσίοδος ἐξεδέξατο εἰπών· 'καὶ ἀπὸ κρῆθεν βλεφάρων' Schol. Hom. Townl. *Π* 548 (VI 196, 26 M.) Ἡσίοδος· 'τῆς καὶ ἀπὸ κρῆθεν' Eust. Hom. 1257, 55 . . ὅθεν γίνεσθαι . . . καὶ τὸ παρ' Ἡσιόδῳ 'ἀποκρῆθεν βλεφάρων' Et. mag. v. κατακρῆθεν . . . καὶ Ἡσίοδος 'ἀποκρῆθεν' εἶπεν Schol. Hom. Ven. B Townl. *Τ* 1 (IV 204, 1 D. et VI 283, 17 M.) . . ῥοάων· . . . καὶ ἀπὸ οὐδετέρων 'βλεφάρων τ' ἄπο κυανεάων' Eust. Hom. 1363, 55 ἔχει δὲ πλεονασμὸν τοῦ ᾱ (τὸ 'ἐάων') οὐ συνήθη μέν, ὅμοιον δὲ τῷ 'βλεφάρων ἀπὸ κυανεάων', ὅπερ ἐν τῇ τοῦ Ἡσιόδου Ἀσπίδι κατ' ἀρχὰς κεῖται Apoll. Soph. Lex. v. ἐά· ἀγαθά· 'δωτῆρες ἐάων'· . . . παρεμπέπτωκε δὲ τὸ ᾱ διὰ τὸ μέτρον ἀντὶ τοῦ ἐῶν, ὥσπερ κυανέων 'κυανεάων' Et. gen. v. ἀπὸ κυανέων· Ἡσίοδος ἐν Ἀσπίδι· 'ἀπὸ κυανέων'

---

5 expulit Fick Hes. Ged. 86 εἴδεΐ τε] periit in A μεγέθει] ΜΕΓΕΘΕ⟨ι A, superscr. altero μ E τε — ἔριζε] non servavit A μὲν] μιν FK, superscr. εν L 6 sq. suspicionem moverunt Wolfio in Rankii ed. 84 6 ···τ⟩ΕΚΟΝ⟨ευνη⟩ΘΕΙCΑΙ solum superest in A θνητοῖς] θνητοῖσιν E 7 τῆς — κρῆθεν] praeter Ν litteram non servavit A ἀπὸ κρῆθεν] ἀποκρῆθεν H Et. gen. cod. B Et. mag. Eustathius, ἀπόκρηθεν Anecd. Par. βλεφάρων] libri (cum A) schol. Hom. Ven. A *Π* 548 schol. Hom. Ven. B Townl. *Τ* 1 Et. gen. (βλεφάρον cod. B) et mag. Eustathius; a nominat. 'ἡ βλέφαρος' derivandum esse censuit Doederlein Hom. Gloss. I 207; βλεφαρῶν (a nomin. 'ἡ βλεφάρη' ducendum) Guyet Not. in Hes. 163, idem vel βλεφαρέων Boissonade ed. 178; τ' ὀφρύων τ' ἀπὸ κυανεάων vel βλεφάρων ἄπο κυανέων τε Paley ed.[1] 112 τ'] om. Et. gen. (schol.) Eustathius ἄπο] απ⟩Ο A κυανεάων] ΚΥΑΝΕ^{ΑΩ} A (i. e. κυανεάων, cf. A Op. 776 ΑΜΕΙΝΩ); sic schol. Hom. Ven. B Townl. Apollonius Soph. Eustathius; quam formam ab Eoeae huius auctore, 'Hesiodi imitatore', Theog. versus 910 verborum structura parum intellecta admissam esse ratus est Leo l. c. 14; κυανέων Ω (ἀποκυανέων F, κυαννέων I) NO Et. gen. (ἀποκυανέων cod. A h. l. unicus); κυανεώντων EK, κυανεόντων LM, κυανοέντων Nauck MGrR. IV 641 8 ···ΤΕΠΟΛΥΧΡΥ⟨σ⟩ΟΥΑΦΡ⟨ο⟩ΔΙΤΗC servavit A τε] ποτε Ψb 9 ἣ — κατὰ] interierunt in A θυμὸν] θυ⟩ΜΟΝ A τίεσκεν] ΤΙΕC⟨κ⟩ΕΝ A, τίεσκ' GH, τείεσκεν Fick Hes. Ged. 87

ὡς οὔ πώ τις ἔτισε γυναικῶν θηλυτεράων·
ἡ μέν οἱ πατέρ' ἐσθλὸν ἀπέκτανε ἶφι δαμάσσας,
χωσάμενος περὶ βουσί· λιπὼν δ' ὅ γε πατρίδα γαῖαν
ἐς Θήβας ἱκέτευσε φερεσσακέας Καδμείους.
ἔνθ' ὅ γε δώματ' ἔναιε σὺν αἰδοίῃ παρακοίτι
νόσφιν ἄτερ φιλότητος ἐφιμέρου, οὐδέ οἱ ἦεν
πρὶν λεχέων ἐπιβῆναι ἐυσφύρου Ἠλεκτρυώνης,
πρίν γε φόνον τείσαιτο κασιγνήτων μεγαθύμων
ἧς ἀλόχου, μαλερῷ δὲ καταφλέξαι πυρὶ κώμας
ἀνδρῶν ἡρώων Ταφίων ἰδὲ Τηλεβοάων.
τὼς γάρ οἱ διέκειτο, θεοὶ δ' ἐπὶ μάρτυροι ἦσαν·
τῶν ὅ γ' ὀπίζετο μῆνιν, ἐπείγετο δ' ὅττι τάχιστα

---

10 cf. ad 4 11 α 115 *πατέρ' ἐσθλόν** σ 57 *ἶφι δαμάσσῃ** 12 σ 257 *λιπὼν κάτα πατρίδα γαῖαν** 13 cf. Π 574 *ἐς Πηλῆ' ἱκέτευσε** 14 γ 381 *αἰδοίῃ παρακοίτι** 17 cf. ω 434 *εἰ δὴ μὴ παίδων τε κασιγνήτων τε φονῆας | τεισόμεθα* 18 ψ 165 *ἧς ἀλόχου* Τ 316 *μαλερῷ πυρί* Χ 512 *καταφλέξω πυρὶ κηλέῳ** 19 δ 268 *ἀνδρῶν ἡρώων** 20 α 273 *θεοὶ δ' ἐπὶ μάρτυροι ἔστων** 21 ξ 283 *Διὸς δ' ὠπίζετο μῆνιν*

---

12 Hymn. Hom. Merc. 236 *χωόμενον περὶ βουσίν** 21 Hymn. Hom. Ven. 290 *θεῶν δ' ἐποπίζεο μῆνιν*

---

10 om. NO (in marg. m. post. O) *ὡς — ἔτισε*] perierunt in A, *ὧς τις ἂν οὔποτ' ἔτισε* Schmidt ed. (1601) 201 *ἔτισε*] *ἔτισαι* H *γυναικῶν*] Γ periit in A *θηλυτεράων*] ΘΗ⟨*λυτερα*⟩ΩΝ A 11 *ἣ — πατέρ'*] interierunt in A *ἣ μέν*] *ὁ μὲν* M, *ὁ* (e corr.) *μέν*, addito in marg. *γρ. ἣ μέν* L *ἐσθλὸν*] *εσθ*⟩ΛΟΝ· A *ἀπέκτανε ἶφι*] ΑΠΕ⟨*κτανεν*⟩ΙΦΙ A, *ἀπέκτανε Ϝῖφι* Lennep ed. 3, *ἀπέκτεινεν ἶφι* FΩbΨb, *ἀπέκτανεν* (α in ras.) *ἶφι* K 12 *χωσάμενος περὶ*] non servavit A *βουσὶ — ὅ γε*] ΒΟΥCΙΝ· Λ⟨*ι*⟩Π⟨*ων δ' ο*⟩ΓΕ A 13 *ἐς Θήβας*] interiit in A, *εἰς* D *ἱκέτευσε*] *ικετ*⟩ΕΥCΕ A *φερεσσακέας*] ΦΕΡ⟨*ε*⟩CΑΚΕ⟨*ας* A, *φερεσακέας* GH (quod praefert Ahrens Kl. Schr. I 107), *φερεσσαικέας* F *Καδμείους*] *καδ*⟩ΜΕΙΟΥC A 14 *ἔνθ' ὅ γε*] perierunt in A *δώματ'*] *δωμ*⟩ΑΤ A *σὺν — παρακοίτι*] *σ*⟩ΥΝΑΙΔΟΙ⟨*η παρ*⟩ ΑΚΟΙΤΗΙ A; *παρακοίτῃ* F, superscr. *ι* m. ead. K, *παρακοίτι* (*ι* in ras.) H 15 *νόσφιν ἄτερ*] non conservata in A *φιλότητος*] ΦΙ⟨*λοτη*⟩ΤΟ⟨*ς* A *ἐφιμέρου*] praeter Φ litteram periit in A; *γρ. ἐφημερίου* marg. L, *ἐφ' ἡμέρου* F *οὐδέ οἱ*] *ου*⟩ΔΕΟΙ A (divinarat Hermann Orph. 780), *οὐ γάρ οἱ* ΩΨNO 16 *πρὶν — ἐπιβῆναι*] perierunt in A *ἐυσφύρου Ἠλεκτρυώνης*] *ευσφυ*⟩ΡΟ⟨*υ ηλεκτρ*⟩ΥΩΝΗC A, *ἠλεκτρύωνος* m. rec. superscr. *ης* K, cf. ad 3 17 clausula ··*κ*⟩ΑCΙΓΝΗΤΩΝΜ⟨*εγαθυμων* superest in A *τείσαιτο*] *τίσαιτο* libri 18 *ἧς — δὲ*] perierunt in A *καταφλέξαι — κώμας*] A (*κ*⟩ΑΤΑΦΛΕΞΑΙ-ΠΥΡ⟨*ι κωμ*⟩Α⟨*ς*) Ωb, *πυρὶ καταφλέξαι κώμας* ΩaΨNO (in E m[1] rectus ordo indicatur) 19 *ἀνδρῶν — Ταφίων*] *α*⟩ΝΔΡΩΝΗΡΩ⟨*ων ταφιω*⟩Ν A *ἰδὲ*] ex *ἠδὲ* corr. E, *ἠδὲ* FGHΨb 20 *τὼς*] ΤΩC A cf. 219, 478; *ὣς* ΩΨNO *διέκειτο*] ΔΙΕΚΕ⟨*ιτο* A *θεοὶ*] *θεο*⟩Ι A *δ' ἐπὶ μάρτυροι*] DEIK, Δ'Ε-ΠΙΜΑΡΤΥΡΟΙ A, *δ'* (om. I) *ἐπιμάρτυροι* libri cett. *ἦσαν*] *ἔσσαν* DΨ 21 *τῶν ὅ γ'*] *τω*⟩ΝΟΓ' A, *τῶν γ'* NO, unde *τῶν γ' ὠπίζετο* alteram lectionem fuisse suspicatus est Ranke ed. 126 *μῆνιν*] *μη*⟩ΝΙ⟨*ν* A *ἐπείγετο*| ΕΠ⟨*ει*⟩Γ⟨*ετο* A *δ' ὅττι*] Δ'ΟΤ·ΤΙ A, *δ' ὅττι* I, *δ' ὅτι* F

ἐκτελέσαι μέγα ἔργον, ὅ οἱ Διόθεν θέμις ἦεν.
τῷ δ' ἅμα ἱέμενοι πολέμοιό τε φυλόπιδός τε
Βοιωτοὶ πλήξιπποι, ὑπὲρ σακέων πνείοντες,
Λοκροί τ' ἀγχέμαχοι καὶ Φωκῆες μεγάθυμοι
ἕσποντ'· ἦρχε δὲ τοῖσιν ἐὺς πάις Ἀλκαίοιο
κυδιόων λαοῖσι. πατὴρ δ' ἀνδρῶν τε θεῶν τε
ἄλλην μῆτιν ὕφαινε μετὰ φρεσίν, ὥς ῥα θεοῖσιν
ἀνδράσι τ' ἀλφηστῇσιν ἀρῆς ἀλκτῆρα φυτεύσαι.
ὦρτο δ' ἀπ' Οὐλύμποιο δόλον φρεσὶ βυσσοδομεύων,
ἱμείρων φιλότητος ἐυζώνοιο γυναικός,

---

22 γ 275 ἐκτελέσας μέγα ἔργον* Π 796 θέμις ἦεν* 23 cf. Σ 242 φυλόπιδος κρατερῆς καὶ ὁμοιίοο πτολέμοιο 26 Ε 592 ἦρχε δ' ἄρα σφιν* Β 819 ἦρχεν ἐὺς πάις Ἀγχίσαο* 27 Α 544 πατὴρ ἀνδρῶν τε θεῶν τε* 28 δ 739 ἐνὶ φρεσὶ μῆτιν ὑφήνας 29 α 349 ἀνδράσιν ἀλφηστῇσιν* Ξ 485 ἀρῆς ἀλκτῆρα* 30 Θ 273 κακὰ φρεσὶ βυσσοδομεύων* 31 Λ 429 ἐυζώνοιο γυναικός*

27—30 Et. gen. v. βυσσοδομεύων (schol.)· Ἡσίοδος ἐν Ἀσπίδι οἷον· 'πατὴρ — βυσσοδομεύων' 29 Schol. Hom. Ven. A Σ 100 (II 152, 9 D.) ἐν δὲ τοῖς εἰκαιοτέροις 'ἀρῆς' τῆς βλάβης, ἐπεὶ καὶ Ἡσίοδος 'ἀρῆς ἀλκτῆρα' βλάβης ἔφη

---

22 ἐκτελέσαι — ἔργον] Ε<κτε>ΛΕCΑΙ<μεγα εργ>ΟΝ A Διόθεν] διοθε>Ν A 23 τῷ — ἱέμενοι] perierunt in A ἱέμενοι] ἱέμενοι DGHL πολέμοιο] πο>ΛΕΜΟΙΟ A τε] om. E φυλόπιδος] φυλλόπιδος D, φιλόπιδος NO 24 βοιωτοι πληξι>ΠΠΟ<ι>CΑΚΕΩΝ(?)ΚΑΔΜΕΙΟΝΕC A (glossema vocis Καδμείους v. 13 irrepsisse videtur) πλήξιπποι] πλάξιπποι LM ὑπὲρ] om. A, ἐπὶ KL πνείοντες] glossemate Καδμείονες de sede sua depulsum in A; πνέοντες M 25 eiecit Fick Hes. Ged. 86 Λοκροί] periit in A; ο ex ω m[1] corr. E τ' ἀγχέμαχοι] A (τ' α>ΓΧΕΜ<αχοι) Ω (ταγχέμαχοι F) NO, τ' ἀγχίμαχοι Ψ (τ' ἀγχὶμαχοι E) καὶ Φωκῆες] και φωκη>ΕC A, καὶ φυκῆες Ωb (ω superscr. υ deleto G) 26 ἕσποντ'] periit in A, ἕσποντο (ἕσποντο I) Ωb δὲ — πάις] Δ<ε το>ΙC<ιν ευς πα>ΙC A, παῖς L. Dindorf ed. 58 27 κυδιόων] interiit in A, κυδιάων Fick Hes. Ged. 87 πατὴρ — 29 φυτεύσαι] om. Et. gen. cod. B πατὴρ δ'] ΠΑΤ<ηρ δ' A; δ' om. Et. gen. cod. A ἀνδρῶν] ανδρ>ΩΝ A 28 ἄλλην — ὕφαινε] ΑΛΛΗ<ν>ΜΗΤΙΝ<υ>ΦΑΙΝ<ε A, ὕφηνε NO μετὰ] periit in A; ἐνὶ Nauck MGrR. IV 392 sq. φρεσίν] φ>ΡΕCΙΝ A ὥς ῥα] ΩΕΟ (γρ. ὄφρα θεοῖσιν m. alia marg. O), ΩCΡΑ in ΟΦΡΑ mut. A, ὅς ῥα Et. gen. (cod. A); ὄφρα ΨbN 29 ἀνδράσι τ'] ἀνδράσιν Et. gen. (cod. A) τ' ἀλφηστῇσι] Τ'ΑΛΦΗCΤΗC<ιν A, ταλφηστῇσιν F, τ' ἀλφιστῇσιν ΩbM ἀρῆς] libri (non servavit A) schol. Hom. Ven. A (Zenodotus Hom. Ξ 485 Σ 100, Ἄρεω Aristarchus Hom. Σ 100 teste Didymo); ἄρη' (= ἄρηο) Fick l. c. et Bezzenb. Beitr. XVI 5; ἀλῆς Et. gen. (cod. A) ἀλκτῆρα] α>ΛΚΤΗΡΑ A, ἀλητῆρα Et. gen. (cod. A) φυτεύσαι] LM Et. gen. (cod. A), ΦΥΤΕΥCΑΙ A, φυτευσαι sine acc. E, φυτεῦσαι ΩKNO (superscr. η O) schol. p. 45 R. ('ὥς τε γεννῆσαι'), φυτεύσῃ Triclinius 30 ὦρτο δ' ἀπ'] ω>ΡΤΟΔ'ΑΠ A Οὐλύμποιο] Οὐλύμπου I, Ὀλύμποιο HM δόλον φρεσί] non servata in A δόλον] πολλὰ Et. gen. cod. B βυσσοδομεύων] βυσ>CΟΔΟ<μευων A, βυσσομεύων rubr. add. δο K 31 ἱμείρων] praeter Ν litteram periit in A; e corr. K ἐυζώνοιο γυναικός] desideratur in A

ἐννύχιος· τάχα δ' ἷξε Τυφαόνιον· τόθεν αὖτις
Φίκιον ἀκρότατον προσεβήσατο μητίετα Ζεύς.
ἔνθα καθεζόμενος φρεσὶ μήδετο θέσκελα ἔργα·
αὐτῇ μὲν γὰρ νυκτὶ τανυσφύρου Ἠλεκτρυώνης 35
εὐνῇ καὶ φιλότητι μίγη, τέλεσεν δ' ἄρ' ἐέλδωρ·
αὐτῇ δ' Ἀμφιτρύων λαοσσόος, ἀγλαὸς ἥρως,
ἐκτελέσας μέγα ἔργον ἀφίκετο ὅνδε δόμονδε. 38
ὡς δ' ὅτ' ἀνὴρ ἀσπαστὸν ὑπεκπροφύγῃ κακότητα 42
νούσου ὕπ' ἀργαλέης ἢ καὶ κρατεροῦ ὑπὸ δεσμοῦ,
ὥς ῥα τότ' Ἀμφιτρύων χαλεπὸν πόνον ἐκτολυπεύσας
ἀσπασίως τε φίλως τε ἑὸν δόμον εἰσαφίκανεν. 45
οὐδ' ὅ γ' ἐπὶ δμῶας καὶ ποιμένας ἀγροιώτας 39
ὦρτ' ἰέναι, πρίν γ' ἧς ἀλόχου ἐπιβήμεναι εὐνῆς· 40

---

32 cf. *T* 131 *τάχα δ' ἵκετο ἔργ' ἀνθρώπων* 33 *Α* 175 *μητίετα Ζεύς** 34 *ζ* 295 *ἔνθα καθεζόμενος** *Φ* 19 *κακὰ δὲ φρεσὶ μήδετο ἔργα* *λ* 374 *θέσκελα ἔργα** 36 *ο* 421 *μίγη . . . εὐνῇ καὶ φιλότητι** *φ* 200 *τελευτήσειας ἐέλδωρ* *ψ* 54 *μακρὸν ἐέλδωρ ἐκτετέλεσται* 38 *γ* 275 *ἐκτελέσας μέγα ἔργον** *Π* 445 *ὅνδε δόμονδε** 42 sq. cf. *ε* 394 sqq. 42 *φ* 406 *ὡς δ' ὅτ' ἀνήρ** *κ* 129 *ἵν' ὑπ' ἐκ κακότητα φύγοιμεν* 43 *Ν* 667 *νούσῳ ὑπ' ἀργαλέῃ** *Ε* 386 *κρατερῷ ἐνὶ δεσμῷ** 45 *χ* 381 *ἑὸν δόμον** *χ* 99 *εἰσαφίκανεν** 39 cf. *Ο* 272 *ἀνέρες ἀγροιῶται** 40 *η* 14 *ὦρτο πόλιν δ' ἴμεν* *η* 196 *πρίν γε τὸν ἧς γαίης ἐπιβήμεναι* *Ι* 133 *μή ποτε τῆς εὐνῆς ἐπιβήμεναι* *κ* 340 *σῆς ἐπιβήμεναι εὐνῆς**

---

42. 45 cf. Oppian. Hal. I 694 sq. *ὡς δὲ γυνὴ ξείνης γαίης ἔπι παῖδα τεκοῦσα | ἀσπασίως πάτρην τε καὶ ὃν δόμον εἰσαφικάνει*

---

33 Et. gen. v. *Φίκειον· ὄνομα ὄρους· κατὰ τὴν ἄρχουσαν διὰ τοῦ ῑ, ἐπειδὴ ἀπὸ Φῖξ Φικὸς ἐγένετο . . . κατὰ δὲ τὴν παραλήγουσαν διὰ τῆς ει διφθόγγου καὶ διὰ συνεσταλμένου τοῦ ῐ οἷον 'Φίκιον προσεβήσατο' Ἡσίοδος* (cf. Hesych. *'Φίκιον'· ὄρος Θηβῶν*)

---

32 *εννυχιο*>CTΑΧΑΔ'ΙΞ<*ε*·· supersunt in A *ἷξε*] *ἷξαι* superscr. *ε* K, *ἶξε* GH *τόθεν*] *τόθ*< (< e corr.) G, *τόθ'* H, *τότε δ'* I *αὖτις*] *αὖθις* GNO 33 *Φίκιον*] *φύκιον* I *προσεβήσατο*] libri (*προσ ἐβήσατο* F) Et. gen.; *προσεβήσετο* Kontos *Λόγ. Ἑρμ.* I 121 35 *τανυσφύρου Ἠλεκτρυώνης*] *τανυσφύρῳ Ἠλεκτρυώνῃ* FΩb, quod praetulit Sittl (coll. Hom. *ο* 420 sq.) ed. 329 36 *τέλεσεν — ἐέλδωρ*] *ἐτέλεσσε δὲ Ϝέλδωρ* Fick Hes. Ged. 88, *τέλεσεν δὲ ὃν ἔλδωρ* Sittl ed. 532, sed cf. Peppmüller WfclPh. 1891 n. 43 sqq. *τέλεσεν*] *τέλεσε* FK 38 *δόμονδε*] e corr. E, *δόμον δὲ* I, *δόμον*[τε] superscr. *δὲ* m. alia G, *δόμοντε* H 42—45 ante 39 collocavit Kinkel ed. Koechly-Kink. 154 adn. 42 *ὑπεκπροφύγῃ*] *ὑπεκπροφύγοι* FΨb 43 *νούσου*] *νόσου* DLMNO *ὕπ'*] *ἄπ'* Bauermeister Observ. in Hes. Carm. (1815) I 7 *κρατεροῦ*] *κρατερῆς* K *ὑπὸ*] *ἀπὸ* Bauermeister l. c. 44 *ῥα τότ'*] *ἄρ'* (om. *τότ'*) D, *ἄρα τότ'* KN, /// *ῥα* (*α* erasum, spiritus postea additus) *τότ'* O *ἐκτολυπεύσας*] *γρ. ἐκτολμήσας* marg. O; *ἐκτολμώσας* KL 45 *τε φίλως*] Ω (*φίλους* F) E, *φίλως* om. *τε* N, *φίλως* om. *τε* et m. rec. addito *ί* (= *φιλίως*) O; *τε φιλίως* (*φιλέως* K) *τε* Ψb 39 *ἀγροιώτας*] *ο* ex *ι* corr. I, *ἀγριώτας* H 40 *πρίν γ' ἧς*] ΩΨ, *πρίν γ' ἑῆς* NO, *πρὶν Ϝῆς* vir doctus (Fiorillo) Gött. gel. Anz. 1812 p. 1847 *εὐνῆς*] *εὐνὰσ* G, *εὐνὰν* H

τοῖος γάρ κραδίην πόθος αἴνυτο ποιμένα λαῶν. 41
παννύχιος δ' ἄρ' ἔλεκτο σὺν αἰδοίῃ παρακοίτι 46
τερπόμενος δώροισι πολυχρύσου Ἀφροδίτης.
ἡ δὲ θεῷ δμηθεῖσα καὶ ἀνέρι πολλὸν ἀρίστῳ
Θήβῃ ἐν ἑπταπύλῳ διδυμάονε γείνατο παῖδε,
οὐκέθ' ὁμὰ φρονέοντε· κασιγνήτω γε μὲν ἤστην· 50
τὸν μὲν χειρότερον, τὸν δ' αὖ μέγ' ἀμείνονα φῶτα,
δεινόν τε κρατερόν τε, βίην Ἡρακληείην·
[τὸν μὲν ὑποδμηθεῖσα κελαινεφέι Κρονίωνι,
τὸν δ' ἄρα Ἰφικλῆα δορυσσόῳ Ἀμφιτρύωνι,
κεκριμένην γενεήν· τὸν μὲν βροτῷ ἀνδρὶ μιγεῖσα, 55
τὸν δὲ Διὶ Κρονίωνι, θεῶν σημάντορι πάντων.]

Ὃς καὶ Κύκνον ἔπεφνεν, Ἀρητιάδην μεγάθυμον.

---

41 ξ 144 *πόθος αἴνυται* Α 263 *ποιμένα λαῶν** 46 cf. ad 14 49 cf. ad Op. 162 Ζ 26 *διδυμάονε γείνατο παῖδε** 51 Β 239 *μέγ' ἀμείνονα φῶτα** 52 Ε 638 *βίην Ἡρακληείην** 53 Α 397 *κελαινεφέι Κρονίωνι** 55 Ε 604 *βροτῷ ἀνδρί** 56 Ε 869 *δὲ Διὶ Κρονίωνι**

---

56 Hesiod. Fr. 4, 2 *θεῶν σημάντορι πάντων** Hymn. Hom. Merc. 367 *θεῶν σημάντορα πάντων**

---

57 Herodian. *ἐπιτ. τῶν ὀνομ. καν.* p. 4, 23 H. (Π 639, 21 L.) apud Eust. Hom. 518, 24 *Ἡρωδιανός . . φησιν ὅτι πλείοσι κλίσεσιν ὁ Ἄρης κέχρηται·*

---

378 om. in textu, in ima pagina addit E ἧος] restitui Dial. d. Hes. 363, cf. Nauck MGrR. II 411 sqq.; εἵως DΨ, ἕως ΩbNO πεδίονδ'] πεδίον NO, πέδονδ' Ωb ἀφίκωνται] ἀφίκονται Ψb 379 κεκλήγοντες] DNO, κεκληγῶτες E (Didymus Hom. § 30 'κεκληγῶτες' καὶ 'κεκλήγοντες' διχῶς αἱ Ἀριστάρχου, cf. idem *Π* 430 μ 256); κεκληγότες ΩbΨb 380 πᾶσα] πᾶσαι I τε πόλις] πόλις τε Ωb κλειτή] κλεϊτή Nauck MGrR. III 214 Ἰαωλκὸς] ΨNO, ἰαολκὸς D, ἰωλκὸς Ωb (ω e corr. G) 381 rhapsodi cuiusdam esse arbitratur Peppmüller Variat. 31 382 clausula ο>ΙΔ'ΑΛΑΛΗΤΩ sola servata in A φωνῇ] φωνῇ δ' Ωb, φωνὴ N μεγάλ' ἴαχον] μέγα Ϝίαχον Lennep ed. 51 adn., μεγάλ' νἴαχον (ex Hartelii sententia) Fick Bezzenb. Beitr. XVI 17 383 θεσπεσίῳ — ἔκτυπε] non servata in A σύνισαν] σύνεσαν ε in η mut. L μητίετα] μητ>ΙΕ<τα A 384 nihil in A superest nisi αι>ΜΑΤΟΕϹ<σας κὰδ δ' ἄρ'] καδδ' ἄρ D 386—391 ab alio poeta loco versuum 426—432 panctos esse putat Peppmüller Variat. 34 sqq., 392 inepte adsutum (l. c. 32 et 37 adn. 1) 386 βήσσῃς] βήσσῃσιν D, βήσσαις Ωb προϊδέσθαι] προσιδέσθαι ex προιδέσθαι m. rec. factum L, προσιδέσθαι (προσιδέσθη HI) Ωb 387 χαυλιόδων] χαλιόδων in marg. rubro addito γρ. χαυλιόδων L φρονέει — μαχέσασθαι] praeter hanc e codd. et schol. duplicem lectionem erui posse arbitratur Ranke ed. 269: φέρεται θυμῷ μαχέσασθαι et φέρεται, φρονέει δὲ μάχεσθαι; φρονέει θυμῷ δὲ μάχεσθαι suspicatur Paley ed.[1] 143, qui in superiore versu ἐστί addit φρονέει] post erasum aliquid E, φρονέει δὲ ΩΨbNO; 'φέρεται ἐν τοῖς ὄρεσιν ἐν θυμῷ, ὥστε μαχέσασθαι ἀνδράσι κυνηγέταις' Pediasimus 650, 11 G. μαχέσασθαι] μάχεσθαι Ωb

ἀνδράσι θηρευτῇς, θήγει δέ τε λευκὸν ὀδόντα
δοχμωθείς, ἀφρὸς δὲ περὶ στόμα μαστιχόωντι
λείβεται, ὄσσε δέ οἱ πυρὶ λαμπετόωντι ἔικτον,
ὀρθὰς δ' ἐν λοφιῇ φρίσσει τρίχας ἀμφί τε δειρήν·
τῷ ἴκελος Διὸς υἱὸς ἀφ' ἱππείου θόρε δίφρου.
ἦμος δὲ χλοερῷ κυανόπτερος ἠχέτα τέττιξ
ὄζῳ ἐφεζόμενος θέρος ἀνθρώποισιν ἀείδειν
ἄρχεται, ᾧ τε πόσις καὶ βρῶσις θῆλυς ἐέρση,
καί τε πανημέριός τε καὶ ἠώιος χέει αὐδὴν
ἴδει ἐν αἰνοτάτῳ, ὅτε τε χρόα Σείριος ἄζει,
τῆμος δὴ κέγχροισι πέρι γλῶχες τελέθουσι
τούς τε θέρει σπείρουσιν, ὅτ' ὄμφακες αἰόλλονται,

---

388 *Μ* 41 *ἀνδράσι θηρευτῇσιν* *Λ* 416 (*κάπριος*) . . *θήγων λευκὸν ὀδόντα* 390 *Λ* 104 *ὄσσε δέ οἱ πυρὶ λαμπετόωντι ἐίκτην** 392 *Π* 11 *τῇ ἴκελος** 393 sqq. *Γ* 151 sq. *τεττίγεσσι ἐοικότες, οἵ τε καθ' ὕλην | δενδρέῳ ἐφεζόμενοι ὄπα λειριόεσσαν ἱεῖσι* 394 cf. *χ* 346 *θεοῖσι καὶ ἀνθρώποισιν ἀείδω* 395 cf. *Τ* 210 *οὐ πόσις οὐδὲ βρῶσις* *ε* 467 *θῆλυς ἐέρση** 396 cf. *τ* 521 *χέει πολυηχέα φωνήν*

---

388 sqq. Apoll. Rhod. Arg. *Γ* 1351 (*σῦς*) *ὅς ῥά τ' ὀδόντας | θήγει θηρευτῇσιν ἐπ' ἀνδράσιν, ἀμφὶ δὲ πολλὸς | ἀφρὸς ἀπὸ στόματος χαμάδις ῥέε χωομένοιο* cf. Archias Anth. Pal. XV 51, 3 (de apro Calydonio) *χαίτας αὐχενίους πεφρικότα, θηκτὸν ὀδόντα, | βρύχοντα, γλήναις φρικτὸν ἱέντα σέλας | ἀφρῷ χείλεα πάντα δεδευμένον* 393 sqq. cf. ad Op. 582 sqq. 395 cf. Anacreont. 32, 3 B.[4] (*τέττιξ*) *ὀλίγην δρόσον πεπωκώς* Vergil. Buc. V 77 *dumque thymo pascentur apes, dum rore cicadae*

---

388 Schol. Hom. Townl. *Σ* 488 (VI 273, 7 M.) . . . *ὡς τὸ 'θήγει — ὀδόντα'* 395 cf. Athen. V 189 d (I 422, 11 K.) . . *καθάπερ λέγεται 'θῆλυς ἐέρση'* (pertinet etiam ad Hom. *ε* 467) 397 Et. gen. mag. v. *ἴδος· Ἡσίοδος· 'ἴδει — ἄζει'* Schol. Hom. *υ* 204 (II 691, 27 D.) *οὕτως δὲ καὶ τὸ 'ἴδει ἐν αἰνοτάτῳ'* Eust. Hom. 1505, 11 . . *οἷον 'ἴδει ἐν αἰνοτάτῳ'* Suid. v. *ἴδει* (I b 939 B) . . *καὶ 'ἴδει' τῷ θέρει παρ' Ἡσιόδῳ*

---

388 *θηρευτῇς*] E, *θηρευτῇσι* ΨbINO, *θηρευταῖς* D, *θηρατῆρσι* GH 389 *δοχμωθείς*] *δογμωθείς* Ωb *μαστιχόωντι*] *στιχόωντι* N, *στιχόων τε* O, *μαστιόωντι* vel *μαστάζοντι* Heyne ad Hom. *Λ* 416 390 *ἔικτον*] ex Hom. *δ* 27 Goettling ed.[2] 150, *ἐίκτην* (ex Hom. *Λ* 104) libri 391 *λοφιῇ*] *λοφνῇ* Ωb 392 *ἀφ' ἱππείου*] *ἀφιππίου* Ψb, *ἐφ' ἱππείου* Pediasimus (*'ἀνεπήδησεν ἐπὶ τοῦ ἅρματος*), quod coniecit Hauck Quaest. Hes. (1821) 28 393—401 his filum interrumpi monuit Wolf in Rankii ed. 104; aut removendos aut post 372 ponendos esse censuit Flach ed.[3] Goettling. 165; inter v. 442 et 443 collocavit Peppmüller Variat. 32 sqq. 393 *χλοερῷ*] *χλοερὸς* I 394 *ἐφεζόμενος*] *ἐφιζόμενος* Ψb *θέρος*] *θέρει* Blaydes Advers. 9 396 *ἠώιος*] scripsi in ed.[1], *ἠῷος* libri *αὐδὴν*] ΩE, *ἀοιδὴν* ΨbNO 397 reiecit Wolf in Rankii ed. 104 *ὅτε τε*] Et. gen. (*τε* om. cod. B) et mag. (cf. Hom. *Β* 471 *σ* 367 *χ* 301), *ὅτε* ΩbΨbNO, *ὁπότε* D, *ὅτε περ* E 398 *τῆμος*] ΩΨNO, *ἦμος* schol. paraphr. 64 R. (*'ὁπηνίκα δή'*), Pediasimus 650, 25 G. (*'ὅτε δή'*), cf. Peppmüller Variat. 33 *δὴ*] *δὲ* HΨ *τελέθουσι*] *τελέθωσι* DENO 399 *σπείρουσιν*] *σπείρωσιν* DNO *αἰόλλονται*] D, *αἰόλλοντο* Ωb, *αἰόλονται* Ψb, *αἰώλονται* NO (*ο* postea in *ω* mut. O), *αἰωλῶνται* E, *αἰόλλωνται* Doederlein Hom. Gloss. I 5 (sed cf. Savelsberg de mod. usu Hes. 44)

οἷα Διώνυσος δῶκ' ἀνδράσι χάρμα καὶ ἄχθος·
τὴν ὥρην μάρναντο, πολὺς δ' ὀρυμαγδὸς ὀρώρει.
ὡς δὲ λέοντε δύω ἀμφὶ κταμένης ἐλάφοιο
ἀλλήλοις κοτέοντες ἐπὶ σφέας ὁρμήσωσι,
δεινὴ δέ σφ' ἰαχὴ ἄραβός θ' ἅμα γίγνετ' ὀδόντων·
οἳ δ' ὥς τ' αἰγυπιοὶ γαμψώνυχες, ἀγκυλοχῆλαι,
πέτρῃ ἔφ' ὑψηλῇ μεγάλα κλάζοντε μάχωνται
αἰγὸς ὀρεσσινόμου ἢ ἀγροτέρης ἐλάφοιο
πίονος, ἥν τ' ἐδάμασσε βαλὼν αἰζήιος ἀνὴρ
ἰῷ ἀπὸ νευρῆς, αὐτὸς δ' ἀπαλήσεται ἄλλῃ
χώρου ἄιδρις ἐών· οἳ δ' ὀτραλέως ἐνόησαν,
ἐσσυμένως δέ οἱ ἀμφὶ μάχην δριμεῖαν ἔθεντο·
ὣς οἳ κεκλήγοντες ἐπ' ἀλλήλοισιν ὄρουσαν.

---

401 *B* 810 *πολὺς δ' ὀρυμαγδὸς ὀρώρει** 402 cf. *E* 554 *οἵω τώ γε λέοντε δύω* *K* 297 *ὥς τε λέοντε δύω* *Π* 757 *περὶ κταμένης ἐλάφοιο** 403 *Γ* 345 *ἀλλήλοισιν κοτέοντε* 404 *K* 375 *ἄραβος δὲ διὰ στόμα γίγνετ' ὀδόντων* 405 sq. = *Π* 428 sq. 407 cf. *Φ* 486 *ἀγροτέρας τ' ἐλάφους* 408 *P* 520 *αἰζήιος ἀνήρ** 409 *Λ* 664 *ἰῷ ἀπὸ νευρῆς** 410 *κ* 282 *χώρου ἄιδρις ἐών** 411 *O* 696 *δριμεῖα μάχη* 412 = *Π* 430

---

400 = Hesiod. Fr. 121, 1, Pind. Pyth. IX 64 Orac. Sib. Fr. III 35 R. *ἀνδράσι χάρμα*

---

409 sq. Et. gen. v. *ἴδρις· ὁ' ἔμπειρος καὶ ἄιδρις ὁ ἄπειρος, ὡς παρ' Ἡσιόδῳ· 'αὐτὸς — ἐών'* cf. Et. mag. v. *ἄιδρις* (42, 32 G.) . . . *Ἡσίοδος·* [*'αὐτὸς — ἄλλῃ'* haec om. codd. DP] *'χώρου ἄιδρις ἐών'*; cf. v. eadem (42, 42 G.) . . *Ἡσίοδος, ἀσύνετος καὶ ἀναίσθητος*

---

400 *Διώνυσος*] O, *διώννσσος* EΩb, *διόνυσος* DΨbN *ἄχθος*] *ἔχθος* Athenaei libri in Fr. 121, 1 401 *μάρναντο*] *ἐμάρναντο* NO *ὀρυμαγδὸς*] *ὀρυγμαδὸς* HIMNO, *ὀρυμαδὸς* G 402—404 alii recensioni pro v. 405—411 tribuit Goettling ed.[1] 127 (ed.[2] 151); ab alio rhapsodo loco versuum 374—378 vel 405—411 pronuntiatos esse arbitratur Peppmüller Variat. 34 sq. 402 *λέοντε*] *λέοντες* Ψb *ἀμφὶ κταμένης*] *ἀμφικταμένης* NO (*ἀμφὶ* m. post. O) 403 *ἀλλήλοις*] *ἀλλήλους* Ψ *ὁρμήσωσι*] *ὁρμήσουσι* Ωb 404 *δέ σφ' ἰαχὴ*] *δὲ Ϝιαχή* (*δευιαχή*) *τ'* dubitans Lennep ed. 53 *σφ'*] *σφιν* ΨbN, *σφ'///* O (' rec.) *γίγνετ'*] *γίνετ'* libri 405—411 cf. ad 402—404 405 *οἳ δ'*] ΩΨ cf. Hom. *Π* 428, *ἧδ* NO (*ἠδ'* Graevius Lect. Hes. 111) *ἀγκυλοχῆλαι*] cf. Zacher Phil. LVII 23 sqq.; *ἀγκυλοχεῖλαι* libri 406 *κλάζοντε*] *κλάζοντ'* (*ἐμαχέσθην*) *λ* ex *ρ* corr. E, *κράζοντε* Ωb *μάχωνται*] ex Hom. *Π* 429 restituendum, cf. quae dixi Herm. XXXIII 603, *μάχονται* DNO, *μάχεσθον* ΩbM, *μαχέσθην* L, *ἐμαχέσθην* E; aut *μάχησθον* aut *μάχωνται* Hermann Op. VI 217 408 *τ'*] om. NO 409 *ἀπὸ νευρῆς*] alterum *ν* superscr., quod m. rec. deletum est, E, *ἀπονευρῆς* H, *ἀπαὶ νευρῆς* Triclinius *αὐτὸς — ἄλλῃ*] om. Et. gen. cod. B *ἀπαλήσεται*] DEGHNO Et. gen. (cod. A), *ἀπαλήσεται* (superscr. *α* et *το*) (*α* et *το* m. alia) L, *ἀπαλήσατο* M, *ἀπονίσσεται* I, *ἀποχήσεται* Et. mag. 411 *ἀμφὶ*] om. D 412 prope nihil discrepare a v. 379 sensit Wolf in ed. Rankii 105, cf. Peppmüller Variat. 34 *κεκλήγοντες*] D, *κεκληγῶτες* E (cf. ad v. 379); *κεκληγότες* Ωb, (*κεκλωγότες* I) ΨbNO

ἔνθ' ἤ τοι Κύκνος μὲν ὑπερμενέος Διὸς υἱὸν
κτεινέμεναι μεμαὼς σάκει ἔμβαλε χάλκεον ἔγχος,
οὐδ' ἔρρηξεν χαλκός· ἔρυτο δὲ δῶρα θεοῖο.
'Αμφιτρυωνιάδης δέ, βίη 'Ηρακληείη,
μεσσηγὺς κόρυθός τε καὶ ἀσπίδος ἔγχεϊ μακρῷ
αὐχένα γυμνωθέντα θοῶς ὑπένερθε γενείου
ἤλασ' ἐπικρατέως· ἀπὸ δ' ἄμφω κέρσε τένοντε
ἀνδροφόνος μελίη· μέγα γὰρ σθένος ἔμπεσε φωτός.
ἤριπε δ', ὡς ὅτε τις δρῦς ἤριπεν ἢ ὅτε πεύκη
ἠλίβατος, πληγεῖσα Διὸς ψολόεντι κεραυνῷ·
[ὣς ἔριπ'· ἀμφὶ δέ οἱ βράχε τεύχεα ποικίλα χαλκῷ.]
τὸν μὲν ἔπειτ' εἴασε Διὸς ταλακάρδιος υἱός,
αὐτὸς δὲ βροτολοιγὸν Ἄρην προσιόντα δοκεύσας,
δεινὸν ὁρῶν ὄσσοισι, λέων ὣς σώματι κύρσας,

---

414 *Γ* 317 *χάλκεον ἔγχος** 415 *Γ* 348 *οὐδ' ἔρρηξεν χαλκός** *Φ* 165 *δῶρα θεοῖο** 416 cf. ad 115 417 *Φ* 50 *κόρυθός τε καὶ ἀσπίδος** *E* 45 *ἔγχεϊ μακρῷ** 419 *K* 456 *ἀπὸ δ' ἄμφω κέρσε τένοντε** 421 *Π* 482 *ἤριπε δ' ὡς ὅτε τις δρῦς ἤριπεν ἢ ἀχερωίς* 421 sq. *O* 618 sq. *ἠύτε πέτρη | ἠλίβατος** 422 *μ* 416 *Διὸς πληγεῖσα κεραυνῷ* *ψ* 330 *ψολόεντι κεραυνῷ** 423 *N* 181 *ὣς πέσεν· ἀμφὶ δέ οἱ βράχε τεύχεα ποικίλα χαλκῷ** 424 *Θ* 125 *τὸν μὲν ἔπειτ' εἴασε** 425 v. ad 333 cf. *Π* 313 *ἐφορμηθέντα δοκεύσας* 426 *O* 13 *δεινὰ δ' ὑπόδρα ἰδών* *Γ* 23 *ὥς τε λέων ἐχάρη μεγάλῳ ἐπὶ σώματι κύρσας*

---

421 sqq. Schol. Aristoph. Ran. 963 (p. 302 a 40 D.) [*ὅτι δύο Κύκνοι ἐγένοντο· ὁ μὲν Ἄρεος υἱός, ὁ ὑφ' 'Ηρακλέους φονευθείς, ὡς ἐν τῇ Ἀσπίδι 'Ησίοδος κτλ.*] 423 Et. gen. v. *βρέχειν* (ex Epaphrodito) . . '*ἀμφὶ δέ οἱ βράχε*' (cf. Hom. l. s. c.)

413—425 olim continuo cum 385 coniunctos fuisse suspicatur Peppmüller Variat. 34 sqq. 413 *ὑπερμενέος*] *ὑπὲρ μένεος* I 414 *σάκει*] *σάκε'*/// O (quod flagitavit Fick Bezzenb. Beitr. XVI 7) *ἔμβαλε*] *ἔβαλε* GH, *ἔλασε* N, *ἤλασε η* ex *ε* factum, *γρ. ἔμβαλε* marg. O 415 supervacaneum esse censuit Paley ed.[1] 145 *χαλκός*] Seleucus, schol. p. 40 R. (cf. M. Mueller, de Seleuco Hom. 44, Fr. 33): '*Σέλευκος γράφει χαλκός, ἵν' ᾖ ἐπὶ τοῦ δόρατος· ἡ γὰρ ἀσπὶς οὐκ ἐπεποίητο ἀπὸ χαλκοῦ*'; cf. Aristarchi lectiones Hom. *Γ* 348 *H* 259 *P* 44; *χαλκός* superscr. *όν* H, *χαλκόν* superscr. *ός* GL, *χαλκόν* DEIMNO 416 *'Ηρακληείη*] *ἡρακλείη* Ωb, *'ΗρακλεϜεείη* Nauck l. c. 417 *μακρῷ*] *χαλκῷ* NO, *γρ. μακρῷ* marg. O 418 *αὐχένα*] *αὐχένι* Ψb 419 *ἐπικρατέως*] *τ'* addit Ranke ed. 277 *τένοντε*] *τένοντας* NO 421 *ἤριπε δ'*] *δ'* in ras. O, *ἤριπεν* N *τις*] om. Ωb *πεύκη*] superscr. m[1] *ετρ* (= *πέτρη*) E, *πέτρη* ΩΨbNO (de *ἠλίβατος* arboris epitheto cf. Hymn. Hom. Ven. 267) 423 displicuit Wolfio in Rankii ed. 106 *ἔριπ'*] *ἤριπ'* Ψb 425 *αὐτὸν* (*αὐτὸν* etiam Blaydes Advers. 9) . . . *ἐπιόντ' ἐδόκευσεν*? Peppmüller Variat. 35 *Ἄρην*] ΩMNO, *ἄρηα* E, *ἄρεα* L *προσιόντα*] DEILNO, *προσιέντα* M, *προϊόντα* GH, '*ἐπιόντα*' Pediasimus 652, 15 G. 426 *δεινὸν ὁρῶν*] ΔΕΙΝΟΝΟ-⟨ρων·· A (cetera desiderantur); *δεῖν' ὀρόων*? cf. v. 445 Hom. *O* 13

ὅς τε μάλ' ἐνδυκέως ῥινὸν κρατεροῖς ὀνύχεσσι
σχίσσας ὅττι τάχιστα μελίφρονα θυμὸν ἀπηύρα·
ἐμ μένεος δ' ἄρα τοῦ γε κελαινὸν πίμπλαται ἦτορ·
γλαυκιόων δ' ὄσσοις δεινὸν πλευράς τε καὶ ὤμους
οὐρῇ μαστιόων ποσσὶν γλάφει, οὐδέ τις αὐτὸν
ἔτλη ἐς ἄντα ἰδὼν σχεδὸν ἐλθέμεν οὐδὲ μάχεσθαι·
τοῖος ἄρ' Ἀμφιτρυωνιάδης, ἀκόρητος ἀυτῆς,
ἀντίος ἔστη Ἄρηος, ἐνὶ φρεσὶ θάρσος ἀέξων,
ἐσσυμένως· ὃ δέ οἱ σχεδὸν ἤλυθεν ἀχνύμενος κῆρ·
ἀμφότεροι δ' ἰάχοντες ἐπ' ἀλλήλοισιν ὄρουσαν.
ὡς δ' ὅτ' ἀπὸ μεγάλου πέτρη πρηῶνος ὀρούσῃ,

---

427 *Ω* 158 *ἀλλὰ μάλ' ἐνδυκέως** 428 *K* 495 *μελιηδέα θυμὸν ἀπηύρα** 429 *Λ* 103 *μένεος δὲ μέγα φρένες ἀμφιμέλαιναι | πίμπλαντ'* 430 *Ψ* 716 *πλευράς τε καὶ ὤμους** cf. *Υ* 170 sqq. *οὐρῇ δὲ πλευράς τε καὶ ἰσχία ἀμφοτέρωθεν | μαστίεται (λέων), ἓ ἐ δ' αὐτὸν ἐποτρύνει μαχέσασθαι, | γλαυκιόων δ' ἰθὺς φέρεται μένει* 431 *ι* 205 *οὐδέ τις αὐτόν** 432 *P* 334 *ἔγνω ἐς ἄντα ἰδών** *λ* 143 *ἔτλη ἐς ἄντα ἰδεῖν** 433 *N* 621 *ἀκόρητοι ἀυτῆς** 434 cf. *P* 139 *πένθος ἐνὶ στήθεσσιν ἀέξων* 435 *κ* 67 *ἀχνύμενος κῆρ** 436 *Ξ* 401 *ἐπ' ἀλλήλοισιν ὄρουσαν**

---

427 cf. Incert. Ed. IX ('Theocr.' XXV) 277 *αὐτοῖς δέρμα λέοντος ἀνασχίζειν ὀνύχεσσιν* 437 sqq. cf. Quint. Smyrn. I 696 sqq. *ὡς δ' ὅτ' ἀπ' ἠλιβάτου σκοπιῆς περιμήκεα λᾶαν | λάβρος ὁμῶς ἀνέμοισιν ἀπορρήξῃ Διὸς ὄμβρος, | ὄμβρος ἄρ' ἠὲ κεραυνός, ἐπικτυπέουσι δὲ βῆσσαι | λάβρα κυλινδομένοιο· ὃ δ' ἀκαμάτῳ ὑπὸ ῥοίζῳ | ἔσσυτ' ἀναθρῴσκων μάλα ταρφέα, μέχρις ἵκηται | χῶρον ἐπ' ἰσόπεδον, σταίη δ' ἄφαρ οὐκ ἐθέλων περ . .*

---

427 praeter ΟCΤЄΜΑΛ'Є⟨*νδυκεως* nihil servavit A *μάλ'*] *μ* in ras. O, *βάλ'* N *ἐνδυκέως*] *ἐν δυκέως* M, *ἐνδικέως* E, *ἐνδικαίως* IL, *ἐνδοκέως* G *ῥινὸν*] *δεινὸν* D (e v. 426) 428 CΧΙCCΑCΟΤ⟨*τι ταχισ*⟩ΤΑ·· superest in A *σχίσσας*] *τίσας* L *τάχιστα*] *μάλιστα* Ωb 429 *ἐμ μένεος*] (*ἐν*) J. F. v. Meyer in Heinrichii ed. 218 sq. (*ἐμ* L. Dindorf ed.), *ἐμμενέως* libri (cum A) *τοῦ γε*] *τοῖσι* Ψb *πίμπλαται ἦτορ*] periit in A; *πίμπληται* H, *πίμπλατο* M 430 *γλαυκιόων*] *γλαυκίων* I *δ'*] om. O *ὄσσοις δεινὸν*] *ὄσσοισ' ἀδινὸν* Fick Bezzenb. Beitr. XVI 6 *ὄσσοις*] A? D, *ὄσσοισι* ΩbΨNO *δεινὸν*] *δ*⟩ЄΙΝΟΝ A, om. E, *κατὰ* I *πλευράς — ὤμους*] ΠΛЄΥ⟨*ρας*·· A 431 *μαστιόων*] ΜΑCΤΙ⟨*οων* A *ποσσὶν*] NO, *ποσσὶ* ΑΩΨ (*π*⟩ΟCCΙ A, *ποσὶ* DM, *προσσὶ* I), *οὖδας* Nauck MGrR. V 141 *αὐτὸν*] periit in A, *αὐτοῦ* I 432 *ἔτλη ἐς ἄντα*] ЄΤΛΗЄC⟨*αντα* A, *τλᾶ εἰς ἄντα* vel *ἔτλη ἔναντα* Fick l. c. 6 *ἐλθέμεν*] A (ЄΛΘЄΜЄ⟨*ν*, quod coniecerat Nauck Hom. Od. ed. XIII adn. 5); *ἐλθεῖν* ΩΨNO *οὐδὲ μάχεσθαι*] desiderantur in A 433 ···*αμ*⟩ΦΙΤΡΥѠΝΙΑΔΗCΑΚΟΡΗΤΟ⟨*ς*··· superest in A 434 *ἀντίος ἔστη Ἄρηος*] *ἔστη Ἄρηος* in ras. O (cf. 444); *ἀντίος ἄρηος ἔστη* N, *ἀντίος ἄρεος ἔστη* ΩΨ, ΑΝΤΙΟC⟨····*ε*⟩CΤΗ A *ἀέξων*] periit in A 435 sq. eici iussit Peppmüller Variat. 35 435 *ὃ δέ οἱ*] *ο*⟩ΔЄΟΙ A, *ὁ δ' ἄρ' ὡς* (et *ἀμφότεροι Ϝιάχοντες* in v. proximo) Paley ed.[1] 146 *ἤλυθεν*] ΗΛΥΘЄ⟨*ν* A, *ἤλυθ'* NO *ἀχνύμενος κῆρ*] non servatum in A; *ἀχθόμενος κῆρ* Ωb 436 *δ' ἰάχοντες*] *δ' ια*⟩ΧΟΝΤЄC A *ἐπ' ἀλλήλοισιν*] ЄΠΑΛΛ⟨*ηλοισιν* A *ὄρουσαν*] interiit in A 437 *ἀπὸ μεγάλου*] A (ΑΠΟΜЄΓΑ⟨*λου*) ΩΨ (superscr. altero *μ* E) NO, *ἀπαὶ μεγάλου* Triclinius *πρηῶνος ὀρούσῃ*] non servavit A; *ὀρούσῃ* DENO

μακρὰ δ' ἐπιθρῴσκουσα κυλίνδεται, ἡ δέ τε ἠχῇ
ἔρχεται ἐμμεμαυῖα, πάγος δέ οἱ ἀντεβόλησεν
ὑψηλός· τῷ δὴ συνενείκεται, ἔνθα μιν ἴσχει·
τόσσῃ ὃ μὲν ἰαχῇ βρισάρματος οὔλιος Ἄρης
κεκληγὼς ἐπόρουσεν· ὃ δ' ἐμμαπέως ὑπέδεκτο.
αὐτὰρ Ἀθηναίη, κούρη Διὸς αἰγιόχοιο,
ἀντίη ἦλθεν Ἄρηος ἐρεμνὴν αἰγίδ' ἔχουσα·
δεινὰ δ' ὑπόδρα ἰδοῦσα ἔπεα πτερόεντα προσηύδα·
Ἄρες, ἔπισχε μένος κρατερὸν καὶ χεῖρας ἀάπτους·
οὐ γάρ τοι θέμις ἐστὶν ἀπὸ κλυτὰ τεύχεα δῦσαι
Ἡρακλέα κτείναντα, Διὸς θρασυκάρδιον υἱόν·
ἀλλ' ἄγε παῦε μάχην, μηδ' ἀντίος ἵστασ' ἐμεῖο.

---

442 cf. ξ 485 ὃ δ' ἄρ' ἐμμαπέως ὑπάκουσε 443 = E 733 444 Δ 167 ἐρεμνὴν αἰγίδα 445 O 13 δεινὰ δ' ὑπόδρα ἰδών* ρ 459 καί μιν ὑπόδρα ἰδὼν ἔπεα πτερόεντα προσηύδα 446 H 309 μένος καὶ χεῖρας ἀάπτους* 447 B 73 ἣ θέμις ἐστί E 435 ἀπὸ κλυτὰ τεύχεα δῦσαι* 449 O 459 ἔπαυσε μάχην (Aristophanes, μάχης Zenodotus) P 31 μηδ' ἀντίος ἵστασ' ἐμεῖο*

---

439 cf. Gregor. Theol. Carm. I 1, 7, 28 ἀχλὺς δέ μοι ἀντεβόλησεν* 441 Hymn. Hom. VIII 1 Ἄρες . . . βρισάρματε

---

439 Et. Tittm. v. Ἄρειος πάγος . . . ὡς καὶ Ὅμηρος (immo 'Ἡσίοδος') 'πάγος δέ οἱ ἀντεβόλησεν'

Pediasimus, ὀροῦσα Ψb, ὀροῦσσα H, ὀρουσθι̣ (σσα, α superscr.) (m. eadem superscripta) G, ὄρου (spatio post intermisso) I; aut ὄρουσε aut ὀροῦσα Savelsberg de mod. usu Hes. 47

438 μακρὰ δ'] μακρα>Δ' A, μακρὰν δ' I, μακρὸν (ὀροῦσα) dubitans Paley ed.[1] 146 ἐπιθρῴσκουσα] ΕΠΙΘΡΩ<σκουσα A, in quo reliqua versus pars periit ἠχῇ] Ψb, ἠχή libri cett., ἠχῆς Wakefield Silv. crit. I 128 439 ερ>ΧΕΤΑΙΕΜΒΕΒΑΥΙ<α (sic, cetera desiderantur) A ἀντεβόλησεν] ἀντεβόησεν H 440 υψη>ΛΟΣ· ΤΩΔΗΣ<υνενεικεται (cetera non servata) A συνενείκεται] συνείκεται I et superscr. εν m. rec. G, συνενήνεκτ' Hermann Op. VI 218 441 ὃ] displicuit Goettlingio ed.[1] 130 (ed.[2] 154) μὲν] μέν ῥ' dubitans Peppmüller WfclPh. 1899 c. 148 442 cf. ad 393 443 αἰγιόχοιο] γρ. ἐκγεγαυῖα superscr. in DL 444 ἀντίη] ἀντὶ I ἦλθεν] ἦλθ' M Ἄρηος] ἄρεος Ψb ἐρεμνὴν] ἐρυμνὴν? Pediasimus 652, 36 G., qui 'στιβαρὴν' interpretatur 445 δεινὰ δ' ὑπόδρα] duas lectiones 'τὸν δ' ἄρ' ὑπόδρα ἰδοῦσ'' et 'δεινὰ δ' ἰδοῦσα θεά' coaluisse putavit Hermann Op. VI 218 ἰδοῦσα ἔπεα] Ψ, ἰδοῦσα ἔπη (ϝέπη) Fick Bezzenb. Beitr. XVI 7; ἰδοῦσ' ἔπεα ΩNO 446 ἔπισχε] D (cf. Nauck MGrR. IV 289 V 142); ἐπίσχε in ἔπισχε mut. m[2] E, ἐπίσχε ΩbNO, ἐπίσχες Ψb 447 ἀπὸ κλυτὰ] ἀποκλυτοὺς superscr. α m. rec. H 448 Ἡρακλέα κτείναντα] κτείνανθ' Ἡρακλῆα? Lennep ed. comm. 109, Ἡρακλέην κτείναντα Nauck MGrR. V 140, Ἡρακλῆν ('Koseform') κτείναντα Fick Bezzenb. Beitr. XVI 7 449 ἀλλ' ἄγε] ἀλλά γε GL παῦε] παῦσαι Ωb μάχην] (Aristophanis lectio Hom. O 459) Paley ed.[1] 147; μάχης Zenodoteum libri ἐμεῖο] ἐμοῖο Ωb

ὣς ἔφατ᾽· ἀλλ᾽ οὐ πεῖθ᾽ Ἄρεος μεγαλήτορα θυμόν,
ἀλλὰ μέγα ἰάχων φλογὶ εἴκελά τ᾽ ἔγχεα πάλλων
καρπαλίμως ἐπόρουσε βίη Ἡρακληείη
κακτάμεναι μεμαώς· καί ῥ᾽ ἔμβαλε χάλκεον ἔγχος,
σπερχνὸν παιδὸς ἑοῦ κοτέων πέρι τεθνηῶτος,
ἐν σάκεϊ μεγάλῳ. ἀπὸ δὲ γλαυκῶπις Ἀθήνη
ἔγχεος ὁρμὴν ἔτραπ᾽ ὀρεξαμένη ἀπὸ δίφρου.
δριμὺ δ᾽ Ἄρην ἄχος εἷλε· ἐρυσσάμενος δ᾽ ἄορ ὀξὺ
ἔσσυτ᾽ ἐφ᾽ Ἡρακλέα κρατερόφρονα· τὸν δ᾽ ἐπιόντα
Ἀμφιτρυωνιάδης, δεινῆς ἀκόρητος ἀϋτῆς,
μηρὸν γυμνωθέντα σάκευς ὕπο δαιδαλέοιο
οὔτασ᾽ ἐπικρατέως· διὰ δὲ μέγα σαρκὸς ἄραξε
δούρατι νωμήσας, ἐπὶ δὲ χθονὶ κάββαλε μέσσῃ.

---

450 *I* 255 *μεγαλήτορα θυμόν** 451 *P* 213 *μέγα ἰάχων** *N* 53 *φλογὶ εἴκελος* 452 *B* 658 *βίη Ἡρακληείη** 453 *E* 301 *τὸν κτάμεναι μεμαώς** *N* 296 *χάλκεον ἔγχος** 454 *Σ* 173 *νέκυος πέρι τεθνηῶτος** 455 *Λ* 572 *ἐν σάκεϊ μεγάλῳ*, cf. ad 325 456 *E* 118 *ὁρμὴν ἔγχεος* 457 *Φ* 173 *δ᾽ ἄορ ὀξὺ ἐρυσσάμενος* 458 *Ξ* 324 *Ἡρακλῆα κρατερόφρονα* 459 *N* 621 *δεινῆς ἀκόρητοι ἀϋτῆς** 460 cf. ad 334

---

451 cf. Oppian. Hal. II 328 sq. *ὀξέα πάλλων | ἔγχεα* 452 Hymn. Hom. Cer. 371 *καρπαλίμως δ᾽ ἀνόρουσ᾽**

---

450 *πεῖθ᾽ — θυμόν*] *πείθετ᾽ θ᾽ ἄρης* (*η* ex *ε* corr.) *μεγαλήτορι θυμῷ* I *πεῖθ᾽*] *πεῖθεν* *Ψ*, *πεῖθεν Ἄρεος* praefert Ranke ed. 283 *Ἄρεος*] *ἄρηος* E, *ἄρεως* N, *ἄρεος* *ο* in ras. O 451 *μέγα*] *Ω*b*Ψ*bNO, *μέγ᾽* DE *ἰάχων*] *Ϝιάχων* Lennep ed. 59 *εἴκελα*] NO, *ἴκελα* (vel *ἵκελα*) *ΩΨ* *τ᾽ ἔγχεα*] Hecker Phil. IV 487 ('*φλογὶ εἴκελα* loco unius sunt, quare *τε* post positum'), *τεύχεα* libri 452 *Ἡρακληείη*] *ἡρακλείῃ* *Ω*b, *ἩρακλεϜεείη* Nauck l. c. 453 *κακτάμεναι*] *Ψ*b, *κακ̆τάμεναι* D, *κακκτάμεναι* E, *κατακτάμεναι* *Ω*bN, *κα///κ///κτάμεναι* (alterum *κ* e corr.) O 454 *σπερχνὸν*] *γρ. ῶς* superscr. D, *σπερχνῶς* NO, *γρ. σπερχνὸν* marg. O *παιδὸς ἑοῦ*] *ἑοῦ παιδὸς* Triclinius *τεθνηῶτος*] GNO, *τεθνειῶτος* DEI*Ψ*b, *τεθνεῶτος* H 456 ··ΔΙΦΡΟΥ vocem solam servavit A *ἔτραπ᾽*] *ἐτράπετ᾽* D *ὀρεξαμένη*] *ἀπορεξαμένη* *Ψ*b 457 ···Δ'ΑΟΡΟΞΥ supersunt in A *Ἄρην*] NO, *ἄρη᾽* *Ψ*, *ἄρῃ* DI, *ἄρ᾽* GH *εἷλε*] NO, *εἷλεν* libri cett., *ἔσχεν* Triclinius *ἐρυσσάμενος*] *Ϝερυσσάμενος* Lennep ed. 60 458 *ἔσσυτ — κρατερόφρονα*] perierunt in A *ἐφ᾽ Ἡρακλέα κρατερόφρονα*] D Pediasimus 653, 13 G., *ἐφ᾽ Ἡρακλῆ κρατερόφρονα* Guyet Not. in Hes. 171, *ἐφ᾽ Ἡρακλέην κρατερόφρονα* dubitans Nauck MGrR. V 140, *ἐφ᾽ Ἡρακλῆν* ('Koseform') *κρατερόφρονα* Fick Bezzenb. Beitr. XVI 7, *ἐφ᾽ Ἡρακλῆι κρατερόφρονι* (*καρτερόφρονι* M) *Ω*b*Ψ*NO *τὸν δ᾽*] *το*>ΝΔ' A 459 *Ἀμφιτρυωνιάδης*] *αμφιτρυωνι*>ΛΔΗϹ A *δεινῆς*] *ΩΨ*NO, ΔЄΙΝΟϹ A 460 delendum iudicavit Guyet Not. in Hes. 171 *μηρὸν*] periit in A *γυμνωθέντα*] *γυμν*>ѠΘЄΝΤΑ A *σάκευς*] *σάκους* I, *σάκεος* Fick Bezzenb. Beitr. XVI 7 461 *οὔτασ᾽*] periit in A *ἐπικρατέως*] *ἐπικρα*>ΤЄѠϹ A *δὲ μέγα*] *μ* alterum m[1] superscr. E *σαρκὸς*] A (ϹΑΡΚ<*ος*) *Ω*N, *σά///κος* (accentus recens) O, *σάκος* *Ψ* Pediasimus 653, 17 G. *ἄραξε*] *α*>ΡΑΞЄΝ A, *ἔραξε* L, *ἤραξε* M 462 *δούρατι*] periit in A *νωμήσας*] *ν*>ѠΜΗϹΑϹ A *κάββαλε*] *β* prius in ras. O, Κ<*αββα*>ΛЄ A, *κάμβαλε* (e *κάββαλε* corr. I) *Ω*bN *μέσσῃ*] ΜЄϹϹΗ A

τῷ δὲ Φόβος καὶ Δεῖμος ἐύτροχον ἅρμα καὶ ἵππους
ἤλασαν αἶψ' ἐγγύς, καὶ ἀπὸ χθονὸς εὐρυοδείης
ἐς δίφρον θῆκαν πολυδαίδαλον· αἶψα δ' ἔπειτα
ἵππους μαστιέτην· ἵκοντο δὲ μακρὸν Ὄλυμπον.
υἱὸς δ' Ἀλκμήνης καὶ κυδάλιμος Ἰόλαος
Κύκνον σκυλεύσαντες ἀπ' ὤμων τεύχεα καλὰ
νίσσοντ'· αἶψα δ' ἔπειτα πόλιν Τρηχῖνος ἵκοντο
ἵπποις ὠκυπόδεσσιν. ἀτὰρ γλαυκῶπις Ἀθήνη
ἐξίκετ' Οὔλυμπόν τε μέγαν καὶ δώματα πατρός.
Κύκνον δ' αὖ Κῆυξ θάπτεν καὶ λαὸς ἀπείρων,
οἵ ῥ' ἐγγὺς ναῖον πόλιος κλειτοῦ βασιλῆος
[Ἄνθην Μυρμιδόνων τε πόλιν κλειτήν τ' Ἰαωλκὸν
Ἄρνην τ' ἠδ' Ἑλίκην· πολλὸς δ' ἠγείρετο λαός,]
τιμῶντες Κήυκα, φίλον μακάρεσσι θεοῖσιν.
τοῦ δὲ τάφον καὶ σῆμ' ἀιδὲς ποίησεν Ἄναυρος

---

463 Λ 37 Δεῖμός τε Φόβος τε Θ 438 ἐύτροχον ἅρμα καὶ ἵππους* 464 Π 635 ἀπὸ χθονὸς εὐρυοδείης* 465 Ζ 514 αἶψα δ' ἔπειτα* 466 cf. Ε 768 μάστιξεν δ' ἵππους Β 48 μακρὸν Ὄλυμπον* 468 cf. Ζ 28 ἀπ' ὤμων τεύχε' ἐσύλα Γ 328 τεύχεα καλά* 470 Ψ 504 ἵπποις ὠκυπόδεσσιν* Ε 29 ἀτὰρ γλαυκῶπις Ἀθήνη* 471 Σ 141 καὶ δώματα πατρός* 472 Ω 776 δῆμος ἀπείρων* 473 ζ 54 κλειτοὺς βασιλῆας* 475 cf. Β 664 πολὺν δ' ὅ γε λαὸν ἀγείρας 476 α 82 φίλον μακάρεσσι θεοῖσιν*

---

475 cf. ad 381 477 Epim. Anecd. Ox. I 65, 25 Cr. (Herodian. I 80, 2 L.) ἀιδής . . . οὗ τὸ οὐδέτερον ἀιδές· 'τοῦ — ποίησεν'

---

463 τῷ δὲ] periit in A Φόβος] φοβ⟩ΟϹ A ἐύτροχον — ἵππους] ЄΥΤΡΟΧΟ⟨ν··· (cetera desiderantur) A 464 ἤλασαν] non servatum in A αἶψ'] αι⟩Ψ A, om. N, m. alia superscr. O εὐρυοδείης] praeter Є alterum interiit in A 465 ··· ΠΟΛΥΔΑΙΔΑΛ⟨ον αιψα⟩ΔЄΠЄΙΤΑ superest in A 466 ··· μαστιετ⟩ΗΝΪΚΟΝΤΟΔЄΜ⟨ακρ⟩ΟΝΟΛΥΜΠΟΝ A μαστιέτην] μαστιγέτην NO 467 ··· κυδαλι⟩ΜΟϹΪΟΛΑΟϹ A 468 Κύκνον — ἀπ'] perierunt in A σκυλεύσαντες] ΩbΨNO Pediasimus 653, 26 G., γρ. συλήσαντες m² marg. O, quod praeferebat Hermann Intelligenzbl. l. c. 93, ἐσκύλευσαν καὶ D ὤμων] ω⟩ΜΩΝ A, ὦμον N καλὰ] Κ⟨αλα A 469 νίσσοντ' — ἔπειτα] perierunt in A νίσοντ'] Ψ (praeter M) cf. ad Theog. 71; νείσοντ' NO (γρ. νίσσοντ' m² marg. O), νίσσοντ' ΩM πόλιν] πολι⟩Ν A ἵκοντο] ΪΚΟΝ⟨το A 470 sola clausula γλ⟩ΑΥΚΩΠΙϹΑΘΗ⟨νη superest in A ἀτὰρ] DE, αὐτὰρ ΩbΨbNO 471 Οὔλυμπόν τε] Οὔλυμπόν δε Graevius ed. 92 472 θάπτεν καὶ λαὸς] καὶ λαὸς θάπτεν transposuit Fick Bezzenb. Beitr. XVI 6 θάπτεν] θάπτε ΩbΨb 473 πόλιος] E, πόληας ΩΨbNO κλειτοῦ] κλεϊτοῦ Nauck MGrR. III 214 474 sq. a recentiore poeta adiectos esse vidit Goettling ed.² 156 474 Ἄνθην] Ἄνθιαν (synizesi pronuntiandum) Fick l. c. Μυρμιδόνων] μυρμηδόνων L κλειτὴν] κλεϊτὴν Nauck l. c. Ἰαωλκὸν] Ψ, ἰαολκὸν DNO (ο in ω mut. O), ἰαβηλὸν Ωb (addito ωλκ͂ I) 475 τ' ἠδ'] τε ἰδ' H πολλὸς] πουλὺς E ἠγείρετο] ἐγείρετο H, ἠγείρατο I 476—480 bis scripti in L 476 τιμῶντες] τείοντες Fick l. c. 477 τάφον] om. M, τάφρον N

ὄμβρῳ χειμερίῳ πλήθων· τὼς γάρ μιν Ἀπόλλων
Λητοΐδης ἤνωξ᾽, ὅτι ῥα κλειτὰς ἑκατόμβας
ὅς τις ἄγοι Πυθοῖδε βίῃ σύλασκε δοκεύων.

---

479 Η 450 *κλειτὰς ἑκατόμβας**

---

479 *ἤνωξ᾽*] *ἤνωγ᾽* Ωb *κλειτὰς*] *κλεϊτὰς* Nauck l. c. 480 *Πυθοῖδε*] cf. Dial. d. Hes. 418, *πυθῶδε* M, *Πυθώδε* Goettling ed.[1] 132 (ed.[2] 156)

Subscriptio: τέλος σὺν θεῷ τῆς ἀσπίδος ἡσιόδου D, *τέλος ἀσπίδος ἡσιόδου* E, *τέλος τῆς ἡσιόδου ἀσπίδος* GIN, *τέλος ἡσιόδου ἀσπίδος* H; subscriptione carent MO; *στίχοι υπ* L; carminis finis desideratur in ABCFK

ΑΠΟΣΠΑΣΜΑΤΑ

ΚΑΤΑΛΟΓΟΣ. ΗΟΙΑΙ[1])

1

Menander *περὶ ἐπιδεικτ.* 628 (Rhet. Gr. IX 268, 15 W.) *πολλὰ δὲ αὐτῷ* (*Ἡσιόδῳ*) *ἐν τοῖς Καταλόγοις τῶν γυναικῶν εἴρηται περὶ θεῶν συνουσίας καὶ γάμου*

1b (20)[2])

Servius in Vergil. Aen. VII 268 (II 147, 11 Th.-H.) *antiquis semper mos fuit meliores generos rogare .... Hesiodus etiam περὶ γυναικῶν inducit multas heroidas optasse nuptias virorum fortium*

2 (21)

Schol. Laur. Apoll. Rhod. Arg. *Γ* 1086 (p. 475, 7 K.) *ὅτι Προμηθέως καὶ Πανδώρας υἱὸς Δευκαλίων, Ἡσίοδος ἐν πρώτῳ Καταλόγων φησί, καὶ ὅτι Δευκαλίωνος καὶ Πύρρας Ἕλλην*

Filastrius div. her. lib. 111, 4 (p. 76, 2 M.) *certa autem est probatio et maior, quod ipsi pagani in suis historiis referunt, quod a Pagano rege, ut ait Hesiodus Grecus poeta, pagani sunt appellati: qui postea ex rege Pagano, Deucalionis filio et Pyrrae, quasi plausibile atque amabile nomen eius habentes, immo potius colentes memoriam eius usque in hodiernum diem, hoc mendacium nominis usque nunc detinent percolentes. Hellen itaque, id est Grecus homo, a lingua et a nomine regis dicitur, qui fuit Deucalionis filius*

idem l. c. 111, 2 (p. 75, 16 M.) *pagani autem post Iudaeos sive a pago id est loco sive provincia una dicti sunt sive Pagano rege quod verum esse, ut ait Hesiodus Grecus poeta, manifestatum est*

---

1 *αὐτῷ*] Walz l. c. 268 adn., *αὐτῶν* vel *αὐτοῖς* codd.
2 *Πανδώρας*] *Προνοίης* (*Προμηθέως καὶ Πύρρας* retinens) Sittl ed. 562, cf. Fr. 3 *Δευκαλίωνος*] Marckscheffel Hes. Fragm. p. 275, *προμηθέως* schol. Laur.

---

1) de Catalogo, Eoearum collectione, a Magnis Eoeis distinguendo cf. Leo Hesiodea 11 sqq.
2) numeri uncis inclusi sunt editionis meae anni 1884

3 (22)

Schol. Ambros. et Harl. Hom. κ 2 (Π 444, 8 D.) *Δευκαλίων, ἐφ' οὗ ὁ κατακλυσμὸς γέγονε, Προμηθέως μὲν ἦν υἱός, μητρὸς δέ, ὡς οἱ πλεῖστοι λέγουσι, Κλυμένης, ὡς δὲ Ἡσίοδος, Προνόης, ὡς δὲ Ἀκουσίλαος, Ἡσιόνης τῆς Ὠκεανοῦ καὶ Προμηθέως*

4 (24)

Κούρη δ' ἐν μεγάροισιν ἀγανοῦ Δευκαλίωνος
Πανδώρη Διὶ πατρί, θεῶν σημάντορι πάντων,
μειχθεῖσ' ἐν φιλότητι τέκεν Γραῖκον μενεχάρμην

Ioannes Laurentius Lyd. de mens. I 13 (p. 7, 22 W.) *τοσούτων οὖν ἐπιξενωθέντων τῆς Ἰταλίας, ὥς περ ἐδείχθη, Λατίνους μὲν τοὺς ἐπιχωριάζοντας, Γραικοὺς δὲ τοὺς ἑλληνίζοντας ἐκάλουν, ἀπὸ Λατίνου τοῦ ἄρτι ἡμῖν ῥηθέντος καὶ Γραίκου, τῶν ἀδελφῶν, ὥς φησιν Ἡσίοδος ἐν Καταλόγοις·* Theog. 1013 '*Ἄγριον ἠδὲ Λατῖνον*'. 1—3 '*κούρη — μενεχάρμην*'

Filastrius div. her. lib. 111, 6 (p. 76, 13 M.) *linguam autem Grecam provinciae unius proprietas declaravit, quam rex paganus ex suo nomine confirmavit, ut Romanos Romulus nuncupavit et ut ait Hesiodus a Greco rege fuisse Grecos appellatos, qui Grecus nomine filius fuit Deucalionis*

5 (25)

Ἡ δ' ὑποκυσαμένη Διὶ γείνατο τερπικεραύνῳ
υἷε δύω, Μάγνητα Μακηδόνα θ' ἱππιοχάρμην,
οἳ περὶ Πιερίην καὶ Ὄλυμπον δώματ' ἔναιον

Constantinus Porphyr. de them. 2 p. 48 B. *Μακεδονία ἡ χώρα (ὠνομάσθη) ἀπὸ Μακεδόνος τοῦ Διὸς καὶ Θυίας τῆς Δευκαλίωνος, ὥς φησιν Ἡσίοδος ὁ ποιητής·* '*ἡ δ' — ἔναιον*'

4, 1 Α 418 *ἐν μεγάροισιν* cf. Ε 649 *ἀγανοῦ Λαομέδοντος** 2 Ζ 259 *Διὶ πατρί** 3 cf. τ 266 *τῷ τέκνα τέκῃ φιλότητι μιγεῖσα* Λ 122 '*Ἱππόλοχον μενεχάρμην**

5, 1 sq. cf. Ζ 26 *ἡ δ' ὑποκυσαμένη διδυμάονε γείνατο παῖδε* 1 Α 419 *Διὶ τερπικεραύνῳ* 2 cf. Ω 257 *Τρωΐλον ἱππιοχάρμην** 3 ι 18 *δώματα ναίων**

---

3 *Προνόης*] Dindorf schol. Π 444, *πρυνείης* Ambr., *πρυνόης* Harl., *Πρυλείης* Welcker Aeschyl. Trilog. 12

4 versus recentioris originis esse arbitratur Niese Herm. XII 417, sed cf. Wilamowitz Herm. XXXIV 610 sq., qui fragmentum alii Catalogi recensioni tribuit atque fr. 2 3 *μειχθεῖσ'*] *μιχθεῖσ'* libri Filastrius] num e primo fonte hauserit, dubitat Haupt Op. I 164

5, 2 *Μακηδόνα*] Lehmann de Hes. carm. perd. 28, *Μακεδόνα* codd., *Μακεδνόν* O. Müller d. Dorier I 4 *οἳ — Ὄλυμπον*] *οἵ τ' ἐνὶ Πιερίῃ καὶ Ὀλύμπῳ* Nauck MGrR. IV 386

6 (26)

Μάγνης δ' αὖ Δίκτυν τε καὶ ἀντίθεον Πολυδεύκεα

Herodianus rhet. de soloec. et barb. (post Lex. Vindob.) p. 310, 5 N. *περὶ δὲ διαίρεσιν (βαρβαρίζουσιν), ὡς ὅταν Ἡσίοδος λέγῃ· 'Μάγνης δὲ κατ' αὐτὸ καὶ ἀντίθεον Πολυδεύκεα'· οὐ γὰρ διαιρεῖται ὧν ἡ αἰτιατικὴ εἰς ν̄ λήγει, ἀλλ' εἰς η̄, οἷον Δημοσθένεα Διογένεα, Δημοσθένη Διογένη*

cf. Anonymus *περὶ βαρβ. καὶ σολοικ.* post Ammonium p. 180 V.

7 (27)

Ἕλληνος δ' ἐγένοντο φιλοπτολέμου βασιλῆος
Δῶρός τε Ξοῦθός τε καὶ Αἴολος ἱππιοχάρμης.
Αἰολίδαι δ' ἐγένοντο θεμιστοπόλοι βασιλῆες
Κρηθεὺς ἠδ' Ἀθάμας καὶ Σίσυφος αἰολόμητις
Σαλμωνεύς τ' ἄδικος καὶ ὑπέρθυμος Περιήρης

1. 2 Plutarchus Mor. p. 747 f (IV 392, 13 B.) *καὶ 'Ἕλληνος — ἱππιοχάρμης'*

Schol. Lycophr. 284 (p. 92 K.) *Δωριέα δὲ στρατὸν λέγει τοὺς Ἕλληνας ἀπὸ Δώρου τοῦ Ἕλληνος υἱοῦ, ὡς καὶ Ἡσίοδος· 'Ἕλληνος — ἱππιοχάρμης'*

Schol. Thucyd. I 3 *Ἕλληνος παῖδες Δῶρος Ξοῦθος Αἴολος, ὥς φησι καὶ Ἡσίοδος· 'Δῶρόν τε Ξοῦθόν τε καὶ Αἴολον ἱππιοχάρμην'*

---

6 cf. Γ 237 *καὶ πὺξ ἀγαθὸν Πολυδεύκεα**
7, 2 cf. ad 5, 2   3 sq. cf. Ζ 154 *Σίσυφος Αἰολίδης*

7, 3 Hymn. Hom. Cer. 103 *θεμιστοπόλων βασιλήων**

---

6 *περὶ*] *κατὰ* anonymus   *δ' αὖ Δίκτυν τε*] *δ' αὖ Δίκτην τε* anonymus, *δὲ κατ' αὐτὸ* Herodiani cod.   *Πολυδεύκεα*] *Πολυδέκτην* vel *Πολυδέκτεα* ex Apollod. II 4, 2, 1 (p. 61, 11 W.) Nauck Lex. Vindob. 310   *ἀλλ' εἰς η̄ — Διογένη*] *αἱ γὰρ εἰς ᾱ λήγουσαι αἰτιατικαὶ διαιροῦνται, ⟨οἷον⟩ Δημοσθένεα, ⟨Διογένεα⟩, Δημοσθένη γὰρ καὶ Διογένη* anonymus

7, 1 *φιλοπτολέμου βασιλῆος*] schol. Lycophr., *φιλοπτόλεμοι* (*φιλοπόλεμοι* cod. F) *βασιλῆες* schol. Iamblich., *θεμιστοπόλου βασιλῆος* Tzetzes in Lycophr., cod. schol. Exeg. Iliad. 134, *θεμιστοπόλου* (superscripto *οι*) *βασιλῆος* (superscr. *ες*) cod. Exeg. Iliad. 63; *θεμιστοπόλοι βασιλῆες* Plutarchus   2 *Αἴολος*] *αἰόλος* codd. Plutarchi Iamblichus schol. Iamblichi schol. Lycophr. cod. Exeg. Iliad. utroque l.   3—5 Tzetzam e schol. Pindari cum v. 1 sq. suo arbitratu in schol. Lycophr. coniunxisse iudicat Sittl ed. 565, qui post v. 2 *τὰ περὶ Δώρου καὶ Ξούθου* desiderat   3 *Αἰολίδαι . . θεμιστόπολοι βασιλῆες*] *Αἰολίδου . . . θεμιστοπόλου βασιλῆος* Tzetzae codd. pars   4 *αἰολόμητις*] Nauck MGrR. IV 387 (cf. IV 108), *αἰολομήτης* volgo   5 *τ'*] om. schol. Pind.
Ἡσίοδον] m. admodum recenti in marg. cod. F Iamblichi (cf. schol.), restituit Cobet Coll. crit. 400; *αὐτὸν εἰς ῥόδον* (pro *τὸν Ἡσίοδον*) codd. FC

Schol. Hom. κ 2 (II 444, 21 D.) *Αἴολοι δύο, οὗτος μὲν Ἱππότου τοῦ Μίμαντος, ἕτερος δὲ Ἕλληνος, ὃς ἦν Διός, οὗ καὶ Ἡσίοδος μέμνηται*

Iamblichus Vit. Pyth. 242 (p. 168, 13 sq. N.) *ἐν δὲ τοῖς Βαβυλωνίων ἀκούειν ἱεροῖς Ἕλληνα γεγονέναι Διός, τοῦ δὲ Δῶρον καὶ Ξοῦθον καὶ Αἰόλον, αἷς ὑφηγήσεσιν ἀκολουθῆσαι καὶ τὸν Ἡσίοδον*

Schol. Iamblich. l. c. p. 197, 2 N. *'Ἕλληνος — ἱππιοχάρμης'*

Tzetzes Exeg. Iliad. 63, 12 H. *ὅτι δὲ Ξοῦθος Αἰόλου ἀδελφὸς ἦν καὶ οὐ παῖς, Ἡσίοδός φησιν· 'Ἕλληνος — ἱππιοχάρμης'*

idem l. c. 134, 2 H. *'Ἕλληνος — ἱππιοχάρμης', ὥς φησιν Ἡσίοδος ἐν τῇ ἡρωικῇ ⟨γεν⟩εαλογίᾳ*

2 Herodianus *περὶ μον. λέξ.* p. 42 (II 947, 24 L.) *τὰ εἰς θος λήγοντα καθαρὰ μονογενῆ δισύλλαβα παραληγόμενα φύσει μακρᾷ βαρύνεσθαι θέλει . . . . Ξοῦθος τὸ κύριον· 'Δῶρός τε Ξοῦθός τε'*

3—5 Schol. Pind. Pyth. IV 253 (II 1, 359 B.) *καὶ Ἡσίοδος· 'Αἰολίδαι — Περιήρης'*

1—5 Tzetzes in Lycophr. 284 (II 524 M.) *Δωριεὺς στρατὸς] ὁ Ἑλληνικός, ἀπὸ Δώρου τοῦ Ἕλληνος παιδός, ὥς φησιν Ἡσίοδος ἐν τῇ ἡρωικῇ γενεαλογίᾳ· 'Ἕλληνος — Περιήρης'*

8 (28)

Schol. Laur. Apoll. Rhod. Arg. Δ 266 (p. 495, 13 K.) *οἱ ἀπὸ Δευκαλίωνος τὸ γένος ἔχοντες ἐβασίλευον Θεσσαλίας, ὥς φησιν Ἑκαταῖος καὶ Ἡσίοδος*

9 (29)

Schol. Laur. Apoll. Rhod. Arg. Α 482 (p. 328, 27 K.) *Ἀλωιάδας] Ἐρατοσθένης δὲ γηγενεῖς αὐτούς φησι, διὰ δὲ τὸ ἀνατετράφθαι ὑπὸ τῆς Ἀλωέως γυναικὸς μυθευθῆναι ὡς Ἀλωέως εἰσὶν υἱοί. Ἡσίοδος δὲ Ἀλωέως καὶ Ἰφιμεδείας κατ' ἐπίκλησιν, ταῖς δὲ ἀληθείαις Ποσειδῶνος καὶ Ἰφιμεδείας ἔφη, καὶ Ἄλον, πόλιν Αἰτωλίας, ὑπὸ τοῦ πατρὸς αὐτῶν ἐκτίσθαι*

10 (30)

Suidas (I 2 p. 387, 4 B) = Et. Tittm. c. 790 v. *Ἐπιάλτην Ὅμηρος καὶ Ἡσίοδος· καὶ οἱ Ἀττικοὶ τὸν δαίμονα· διὰ δὲ τοῦ φ τὸν ἄνδρα Ἐφιάλτην. καὶ τὸν ῥιγοπύρετον λεγόμενον*

---

9 *καὶ — ἐκτίσθαι] καὶ κτίσαι δὲ αὐτούς φασιν ἐπ' ὀνόματι τοῦ πατρὸς πόλιν ἐν Θεσσαλίᾳ Ἄλον* schol. Paris.

10 *Ἡσίοδος]* post hanc vocem distinguit Goettling ed.[2] 277

11 (31)

Ἶν δ' αὐτῷ θανάτου ταμίης

Schol. Laur. Apoll. Rhod. Arg. Δ 57 (p. 486, 25 K.) τὸν δὲ Ἐνδυμίωνα Ἡσίοδος μὲν Ἀεθλίου τοῦ Διὸς καὶ Καλύκης, παρὰ Διὸς εἰληφότα τὸ δῶρον ἶν αὐτῷ ταμίαν εἶναι θανάτου, ὅτε θέλοι ὀλέσθαι

Apollonius Dysc. de pron. 106 A Schn. τῇ 'τίν' σύζυγος ἡ 'ἵν' τοῦ τ ἀρθέντος. Ἡσίοδος 'ἶν — ταμίης'

cf. Hesychius v. ἶν αὐτῷ· αὐτὸς αὐτῷ

12 (32)

Schol. Ven. A Hom. Λ 750 (I 408, 31 D.) Ἀκτορίωνε Μολίονε] (ἡ διπλῆ), ὅτι ἐντεῦθεν Ἡσίοδος Ἄκτορος κατ' ἐπίκλησιν καὶ Μολιόνης αὐτοὺς γεγενεαλόγηκεν, γόνῳ δὲ Ποσειδῶνος

Apollonius Lex. Hom. v. Μολίονε· μαχηταί, ἀπὸ τῆς κατὰ μάχην γενομένης μολήσεως ἢ ἀπὸ τοῦ συνεχῶς μολίσκειν εἰς μάχην· ἀπὸ γὰρ μητρὸς οὐδένα σημαίνει Ὅμηρος. Ἡσίοδος δὲ ὡς Μολι⟨ό⟩νης υἱοὺς γεγονότας παραδίδωσι

13 (32)

Porphyrius Quaest. Hom. ad Iliad. pert. 265, 8 Schr. (Schol. Ven. A Hom. Ψ 638 sq. II 266, 33 D.) Ἀρίσταρχος δὲ διδύμους (τοὺς Μολίονας) ἀκούει οὐχ οὕτως ὡς ἡμεῖς ἐν τῇ συνηθείᾳ νοοῦμεν, οἷοι ἦσαν καὶ οἱ Διόσκοροι, ἀλλὰ τοὺς διφυεῖς, δύο ἔχοντας σώματα, Ἡσιόδῳ μάρτυρι χρώμενος, καὶ τοὺς συμπεφυκότας ἀλλήλοις

Schol. Townl. Hom. Λ 710 (V 422, 26 M.) ἢ ὅτι τερατώδεις τινὲς ἦσαν, ὡς Ἡσίοδος, ἄμφω ἐν ἑνὶ σώματι ὄντες

Eustathius Hom. 1321, 19 sqq. Ἀκτορίωνες δὲ παῖδες Ἄκτορος, Κτέατος καὶ Εὔρυτος, ἀνδρεῖοι καὶ ἡνιοχικοί, ῥηθέντες που καὶ Μολίονες παρ' Ὁμήρῳ, παρὰ δὲ τοῖς ὕστερον Μολιονίδαι, οὓς Ὅμηρος μὲν διδύμους ἱστορεῖ ἁπλῶς, οἱ δὲ κατ' Ἀρίσταρχον οὐχ οὕτως οἷον κατὰ τοὺς Διοσκόρους, ἀλλὰ κατὰ τὸν Ἡσιόδου μῦθον καὶ διφυεῖς, δύο μὲν ἔχοντας σώματα, συμπεφυκότας δέ γε ἀλλήλοις

idem Hom. 882, 26 οἷοι δὲ οἱ Ἀκτορίωνες καὶ ὡς ὁ μῦθος εἰς ἓν συναλείφει σῶμα τούτους, παρηλλαγμένην αὐτοῖς φύσιν πλάττων καὶ συνάγων συντίθησιν, οὐκ ἀποστερῶν αὐτοὺς τῶν μερῶν τῶν δύο σωμάτων, καὶ ὡς ἀκαταγωνίστους ποιεῖ τερατώδεις τινὰς ὑποκειμένους καὶ

---

11 ἶν δ' αὐτῷ] Apollonius Dysc. cf. Lex Gortyn. II 40 Ϝὶν αὐτῷ; v. quae dixi Wien. St. V 201, ἐν αὐτῷ scholiorum Apoll. cod. Laur., ἶν scripsit Schaefer Gregor. Cor. 85 ὅτε θέλοι ὀλέσθαι] schol. Laur., ὅτ' ὀφέλλοι ὀλέσθαι C. Schenkl in ed. mea[1] p. 156, ὅθ' ἕλοιτ' ἀπολέσθαι Peppmüller Rh. Mus. XL 626

12 Μολιόνης] schol. Ven. A Hom., Μολι⟨ό⟩νης Apollonius

ἄμφω ἐν ἑνὶ σώματι καθ' Ἡσίοδον, εἰ καί τινες δύο ἑκατέρους ἔχειν σώματά φασι, δηλοῦσιν ἕτεροι ... (additur 29 *φιλάδελφοι δὲ ἱστοροῦνται καὶ μιᾷ ψυχῇ ἐν δυσὶ σώμασι διοικούμενοι*)

14 (33)

Περικλύμενόν τ' ἀγέρωχον
ὄλβιον, ᾧ πόρε δῶρα Ποσειδάων ἐνοσίχθων
παντοῖ'· ἄλλοτε μὲν γὰρ ἐν ὀρνίθεσσι φάνεσκεν
αἰετός, ἄλλοτε δ' αὖτε πελέσκετο, θαῦμα ἰδέσθαι,
μύρμηξ, ἄλλοτε δ' αὖτε μελισσέων ἀγλαὰ φῦλα,
ἄλλοτε δ' αἰνὸς ὄφις καὶ ἀμείλιχος. εἶχε δὲ δῶρα
παντοῖ', οὐκ ὀνομαστά, τά μιν καὶ ἔπειτα δόλωσε
βουλῇ Ἀθηναίης

Schol. Laur. Apoll. Rhod. Arg. *Α* 156 (p. 313, 6 K.) de Periclymeno *Ἡσίοδος δὲ μεταβληθέντα εἴς τινα τῶν συνήθων μορφῶν ἐπικαθεσθῆναι τῷ ὀμφαλῷ τοῦ ζυγοῦ τῶν Ἡρακλέους ἵππων, βουλόμενον εἰς μάχην καταστῆναι τῷ ἥρωι, τὸν δὲ Ἡρακλέα καιρίως αὐτὸν κατατοξεῦσαι τῆς Ἀθηνᾶς ὑποδειξάσης. φησὶ δὲ οὕτως· 'Περικλύμενον — Ἀθηναίης'*

Schol. Ven. A Hom. *Β* 336 (I 102, 13 D.) *Ἡρακλῆς γὰρ ἐπιστρατεύσας τῇ Πύλῳ διὰ τὸ μὴ καθαρθῆναι αὐτὸν ὑπὸ Νηλέως τὸν Ἰφίτου φόνον καὶ διὰ τὴν τῶν Νηλειδῶν δὲ ἀφροσύνην, πολὺς ἦν πορθῶν τὴν πόλιν. καὶ ἐφ' ὅσον μὲν Περικλύμενος ὁ Νηλέως ἔζη, δυσάλωτος ἦν ἡ πόλις· ἀμφίβιος γὰρ ἐγένετο ἐκεῖνος. καὶ δὴ γενόμενον*

14, 1 *λ* 286 *Περικλύμενόν τ' ἀγέρωχον** 2 *Ν* 34 *Ποσειδάων ἐνοσίχθων** 4 *Ε* 725 *θαῦμα ἰδέσθαι** 8 cf. *Ο* 71 *Ἀθηναίης διὰ βουλάς*

14, 1 sqq. Ovid. Met. XII 556 sqq. *mira Periclymeni mors est, cui posse figuras | sumere, quas vellet rursusque reponere sumptas | Neptunus dederat, Nelei sanguinis auctor* 3 sqq. colorem inde videtur duxisse Fragm. Orph. 223 A. *οὕνεκ' ἀμειβομένη ψυχὴ κατὰ κύκλα χρόνοιο* (Herwerden) | *ἀνθρώπων ζῴοισι μετέρχεται ἄλλοθεν ἄλλοις· | ἄλλοτε μέν θ' ἵππος, τότε* (Usener) *γίνεται* ... | *ἄλλοτε δὲ πρόβατον, τότε δ' ὄρνεον αἰνὸν ἰδέσθαι, | ἄλλοτε δ' αὖ κύνεόν τε δέμας φωνή τε βαρεῖα | καὶ ψυχρῶν ὀφίων ἕρπει γένος ἐν χθονὶ δίῃ*

14, 2 *ὄλβιον*] *ὄλβια* schol. Paris., unde *ᾧ πόρεν ὄλβια δῶρα* scribi posse putavi in ed. mea[1] p. 157 3 *γὰρ*] *τε* schol. Paris. 4 *αὖτε πελέσκετο*] *αὖτε πολέσκετο* schol. Paris., *αὖ πωλέσκετο*? Sittl ed. 567 5 aut lacunam post *φῦλα* statuendam aut *δῦνε* (pro *δ' αὖτε*) scribendum esse censuit Koechly Op. I 231; *μελισσέων ἄγν' ἀνὰ φῦλα* Wilamowitz Ind. schol. acad. Georg. Aug. hib. 1889/90 p. 25; *μέλισσ' ἦν ἀγλαόφυλος* Ludwich BphW. 1890 c. 876 6 *δ' αἰνὸς*] Marckscheffel l. c. 283, *δεινὸς* schol. Laur., *δὲ δεινὸς* schol. Paris. *δῶρα*] intercidit in schol. Paris. 7 *μιν*] *μὲν* schol. Paris. *δόλωσεν*] *δόλωσαν* schol. Paris. 8 *βουλῇ*] *ἐν βουλῇσιν* schol. Paris.
ὑποδειξάσης] *ἐπιδειξάσης* Koechly Op. I 231

αὐτὸν μέλισσαν καὶ στάντα ἐπὶ τοῦ Ἡρακλέους ἅρματος, Ἀθηνᾶ δείξασα Ἡρακλεῖ ἐποίησεν ἀναιρεθῆναι .... ἱστορεῖ Ἡσίοδος ἐν Καταλόγοις O

Schol. Hom. λ 286 (II 498, 9 B.) Ἡσίοδος τὸν Περικλύμενον διηγεῖται δῶρον εἰληφέναι παρὰ Ποσειδῶνος ὥστε ἀμείβειν ἑαυτὸν εἰς οἷον ζῷον ἢ δένδρον ἐθέλοι εἰκόνα

eadem Eustathius Hom. 1685, 62

15 (34)

Κτεῖνε δὲ Νηλῆος ταλασίφρονος υἱέας ἐσθλοὺς
ἕνδεκα, δωδέκατος δὲ Γερήνιος ἱππότα Νέστωρ
ξεῖνος ἐὼν ἐτύχησε παρ' ἱπποδάμοισι Γερηνοῖς

1—3 Stephanus Byz. v. Γερηνία· πόλις Μεσσηνίας, ἔνθα, φασί, Νέστωρ ὁ Πύλιος ἐτράφη ἢ φυγὰς ἤχθη. Ἡσίοδος ἐν α' Καταλόγων 'κτεῖνε — Γερήνοις', ἀπὸ εὐθείας τῆς Γέρηνος

Eustathius Hom. 231, 29 λέγεται δὲ ἡ πόλις αὕτη (Γέρηνα) καὶ ἑνικῶς Γέρηνον ὡς Ἡσίοδος· .... καὶ πληθυντικῶς ὡς ὁ αὐτός· 'κτεῖνε — Γερήνοις' ἀπὸ εὐθείας τῆς Γέρηνος Γερήνου

Schol. Ven. A Hom. B 336 (I 102, 19 D.) τότε Νέστωρ ἐν Γερήνοις τρεφόμενος, πορθηθείσης τῆς Πύλου καὶ τῶν ια' ἀδελφῶν αὐτοῦ ἀναιρεθέντων μόνος περιελείφθη· διὸ καὶ Γερήνιος ὠνομάσθη. ἱστορεῖ Ἡσίοδος ἐν Καταλόγοις

2 sq. Schol. Hom. γ 68 (I 124, 17 D.) Γερήνιος ἱππότα Νέστωρ] κατὰ μὲν Ἡσίοδον ὁ ἐν Γερήνοις ἀνατραφείς

3 Stephanus Byz. v. Τάβαι· πόλις Λυδίας ... ὁ πολίτης Ταβηνός ⟨ὡς Γερηνός⟩ (Holstenius). Ἡσίοδος 'παρ' ἱπποδάμοισι Γερηνοῖς'

16 (35)

Νέστωρ οἶος ἄλυξεν ἐν ἀνθεμόεντι Γερήνῳ

Stephanus Byz. v. Γερηνία pergit καὶ αὖθις 'Νέστωρ — Γερήνῳ'

Eustathius Hom. 231, 29 (Anecd. Par. III 191, 7 Cr.) λέγεται δὲ ἡ πόλις αὕτη καὶ ἑνικῶς Γέρηνον, ὡς Ἡσίοδος 'Νέστωρ — Γερήνῳ'

15, 1 sq. Λ 692 δώδεκα γὰρ Νηλῆος ἀμύμονος υἱέες ἦμεν· | τῶν οἶος λιπόμην, οἱ δ' ἄλλοι πάντες ὄλοντο 2 B 336 Γερήνιος ἱππότα Νέστωρ*

15, 1 sq. cf. Ovid. Met. XII 553 sqq. *bis sex Nelidae fuimus conspecta iuventus, | bis sex Herculeis ceciderunt me minus uno | viribus*

Ἀθηνᾶ δείξασα Ἡρακλεῖ] Ruhnken Op. II 588, ἀθηνᾶ εἰκάσασα ἀθηνᾶ cod. Ven. A, Ἀθηνᾶ εἰκάσασα Ἡρακλεῖ schol. Hom. B 336 in Anecd. Matr. II 472, 15; ἐπιδείξασα Ἀθηνᾶ Koechly l. c.

15, 3 Γερηνοῖς] Stephanus v. Τάβαι, Γερήνοις id. v. Γερηνία Eustathius

17 (36)

Τηλεμάχῳ δ' ἄρ' ἔτικτεν ἐύζωνος Πολυκάστη,
Νέστορος ὁπλοτάτη κούρη Νηληιάδαο,
Περσέπολιν μειχθεῖσα διὰ χρυσέην Ἀφροδίτην

Eustathius Hom. 1796, 39 *αὐτοῦ (Τηλεμάχου) δὲ καὶ Πολυκάστης τῆς Νέστορος Περσέπτολιν (γενεαλογοῦσιν), ὡς Ἡσίοδος 'Τηλεμάχῳ — Ἀφροδίτην'*

18 (39)

Schol. Hom. μ 69 (II 533, 26 D.) *Τυρὼ ἡ Σαλμωνέως ἔχουσα δύο παῖδας ἐκ Ποσειδῶνος, Νηλέα τε καὶ Πελίαν, ἔγημε Κρηθέα. καὶ ἴσχει παῖδας ἐξ αὐτοῦ τρεῖς, Αἴσονα καὶ Φέρητα καὶ Ἀμυθάονα. Αἴσονος δὲ καὶ Πολυμήδης καθ' Ἡσίοδον γίνεται Ἰάσων, κατὰ δὲ Φερεκύδην ἐξ Ἀλκιμέδης*

19 (40)

Αἴσων, ὃς τέκεθ' υἱὸν Ἰήσονα, ποιμένα λαῶν,
ὃν Χίρων ἔθρεψ' ἐνὶ Πηλίῳ ὑλήεντι

Schol. Pind. Nem. III 92 (p. 100, 4 A.) *ὅτι δὲ ἐτράφη παρὰ τῷ Χίρωνι ὁ Ἰάσων, Ἡσίοδός φησιν· 'Αἴσων — ὑλήεντι'*

20 (41)

Apollodorus III 9, 2, 7 (p. 138, 6 W.) *Ἡσίοδος δὲ καί τινες ἕτεροι τὴν Ἀταλάντην οὐκ Ἰάσου ἀλλὰ Σχοινέως εἶπον, Εὐριπίδης δὲ Μαινάλου, καὶ τὸν γήμαντα αὐτὴν οὐ Μελανίωνα, ἀλλὰ Ἱππομένην*

Philodemus *περὶ εὐσεβ.* p. 60 (tab. 147, 9) G. *εἰ καὶ Ἀτα⟨λάντη⟩ ἡ Σχοινέως, ⟨ὡς καὶ⟩ Ἡσίοδος λέ⟨γει*

17, 1 sq. cf. γ 464 *τόφρα δὲ Τηλέμαχον λοῦσεν καλὴ Πολυκάστη, | Νέστορος ὁπλοτάτη θυγάτηρ Νηληιάδαο*
19, 1 *Η* 469 *ὑπ' Ἰήσονι, ποιμένι λαῶν** 2 cf. α 186 *ὑπὸ Νηίῳ ὑλήεντι**

17, 2 *Νηληιάδαο*] Heinsius ed. (1603) 312, *Νηληιάδεω* Eustathius 3 *Περσέπολιν*] Heinsius l. c., *Περσέπτολιν* Eustathius *μειχθεῖσα*] *μιχθεῖσα* Eustathius *χρυσέην*] Goettling ed.[1] 226, *χρυσῆν* Eustathius
18 *Πολυμήδης*] ex Apollodoro I 9, 16, 1 dubitans Lehmann de Hes. carm. perd. 37, *Πολυμήλας* schol. Hom.
19, 1 *Ἰήσονα*] *ἰήονα* cod. D, *ἰάσονα* B 2 *Χίρων*] cf. ad Theog. 1001, *χείρων* codd. *ἔθρεψ'*] D, *ἔθρεψεν* BV, *θρέψας* Muetzell de em. Theog. Hes. 85, *θρέψεν Χείρων* Spitzner de vers. Graec. her. 41
20 de hoc proximisque fragmentis cf. Robert Herm. XXII 445 sqq. *Σχοινέως*] CXONΝΘΩC papyrus, corr. Bergk Gr. Litg. I 1004 adn. 88 *⟨ὡς καὶ⟩*] Gomperz l. c. adn., *⟨ἦν καὶ⟩* Bergk l. c.

21 (42. 140)

ι τοῖο ἄνακτος
ι ποδωκῆς δῖ' Ἀταλάντη
Χαρίτων ἀμαρύγματ' ἔχουσα
ἀναίνετο φῦλον ὁμοῖ⟨ον
ιν γάμον ἀλφηστάων
? ?

1 sqq. Flinders Petrie Papyri ed. Mahaffy tab. III 3 (= C), cf. Hopfner Wien. St. XIV 154 sq.

2 Schol. Ven. A Hom. *B* 764 (I 129, 25 D.) *ἀλλά φασιν εἰς ἰδιότητα τοῦ Ἀχιλλέως βεβαρυτονῆσθαι τὸ ποδώκης. παρὰ γοῦν τῷ Ἡσιόδῳ ἀνεγνώκασι 'ποδωκῆς δῖ' Ἀταλάντη'*

3 Et. gen. et mag. v. *ἀμαρύσσω· . . καὶ ἀμάρυγμα καὶ ἀμαρυγάς· σημαίνει τὰς τῶν ὀφθαλμῶν ἐκλάμψεις· Ἡσίοδος γυναικῶν Καταλόγῳ· 'Χαρίτων — ἔχουσα'* (*'Χαρίτων — ἔχουσα' Ἡσίοδος* Et. mag.)

cf. Hesychius v. *'ἀμαρύγματα'· λαμπηδόνες*

22 (43)

Schol. Townl. Hom. *Ψ* 683 (VI 435, 17 M., unde hausit Eustathius Hom. 1324, 18) *νεώτερος οὖν Ἡσίοδος γυμνὸν εἰσάγων Ἱππομένη ἀγωνιζόμενον Ἀταλάντῃ*

cf. Schol. Ven. A Hom. *Ψ* 683 (II 268, 21 D.) *ζῶμα νῦν περίζωμα. πρῶτον δὲ ἔθος ἦν τοῖς παλαιοῖς περιζώματα φέρειν ἐν τοῖς αἰδοίοις καὶ οὕτως ἀγωνίζεσθαι κατὰ δὲ τὴν ιδ' Ὀλυμπιάδα Ὀρσίππου τοῦ Λακεδαιμονίου λυθὲν ἀγωνιζομένου τὸ περίζωμα αἴτιον αὐτῷ νίκης ἐγένετο, ἐξ οὗ νόμος ἐτέθη γυμνοὺς τρέχειν* aliter Schol. Townl. l. c. (13 M.)

21, 1 *Λ* 322 *τοῖο ἄνακτος** 2 cf. *B* 820 *δῖ' Ἀφροδίτη** 3 cf. *ζ* 18 *Χαρίτων ἄπο κάλλος ἔχουσαι* 4 *E* 441 *φῦλον ὁμοῖον** 5 *ζ* 8 *ἀνδρῶν ἀλφηστάων*

21, 4 sq. cf. Theogn. 1289 *ἀναινομένην γάμον ἀνδρῶν* 5 cf. Theogn. 1293 *Ἀταλάντη . . . | φεύγουσ' ἱμερόεντα γάμον*

21, 2 *δῖ'*] ΔΙ C, *δ'* schol. Ven. *Ἀταλάντη*] schol. Ven., ΑΤΑΛΑΝ⟨*τη* C 3 *Χαρίτων*] Et. gen. et mag., *χαρι*⟩ΤΩΝ C *ἔχουσα*] Et. gen. et mag., ΕΧΟ⟨*υσα* C 4 *ὁμοῖον*] ΟΜΟΙ⟨*ον* C 5 *ἀνδρῶν βουλομένη φεύγε*⟩*ιν* vel *προφυγε*⟩*ῖν* conieci Wien. St. XIV 155 adn. 1; post v. 5 litterarum reliquias incertas (ΛΑΝΙ? et ΕΝ?) exhibet C, cf. Hopfner l. c. 155

22 *γυμνὸν εἰσάγων*] *γυμνοὺς εἰσάγων ἀγωνιστάς* ceteris omissis cod. Ven. B *Ἀταλάντῃ*] Eustathius, *ταλάντῳ* schol. *ἐν τοῖς αἰδοίοις*] *περὶ τὰ αἰδοῖα* schol. min. *ιδ'*] schol. Townl. Eustathius, *τ καὶ β* schol. Ven. A, *λβ* schol. min. *Ὀρσίππου*] Pausanias I 44, 1 Eustathius Hom. 1324, 16, *Ὄριππον* appellant schol. Ven. A, *Ἔρσιππον* schol. Townl. *νίκης*] schol. Ven. A cf. Pausanias l. c., *ἥττης* schol. min. cf. schol. Townl. l. c. 15

23 (45)

Καὶ κούρην Ἀράβοιο, τὸν Ἑρμάων ἀκάκητα
γείνατο καὶ Θρονίη, κούρη Βήλοιο ἄνακτος

1 sq. Strabo I p. 42 *Ἡσίοδος δ' ἐν Καταλόγῳ φησί 'καὶ — ἄνακτος'*

1 Eustathius in Dionys. Perieg. 927 (II 381, 12 M.) *Ἡσίοδος μέντοι ἐν τῷ 'κούρην Ἀράβοιο', ἐξ οὗ καὶ ἡ Ἀραβία κεκλῆσθαι δοκεῖ, δι' ἑνὸς ἀμεταβόλου καὶ συστολῆς τῆς ἀρχούσης καὶ αὐτὸς ἐμφαίνει δεῖν γράφειν τοὺς Ἄραβας*

Eustathius Hom. 1484, 63 *ὅθεν τινὲς ἀντὶ τοῦ Ἐρεμβοὺς Ἀραβάς τε γράφουσιν, οἳ οὕτως ὀνομάζονται ἀπὸ Ἀράβου τινός, ὡς Ἡσίοδος ἐν τῷ ἑαυτοῦ Καταλόγῳ φησί*

24 (49)

Ἄργος ἄνυδρον ἐὸν Δαναὸς ποίησεν ἔνυδρον

Eustathius Hom. 461, 2 *πολυδίψιον δὲ τὸ Ἄργος καλεῖ ἢ ὡς πάνυ ποθούμενον Ἕλλησιν ἢ ὅτι μυθεύεται ἄνυδρόν ποτε εἶναι, ὕστερον μέντοι εὔυδρον γενέσθαι Ποσειδῶνος ἀναρρήξαντος τὰς ἐν Λέρνῃ πηγὰς διὰ τὸν τῆς Ἀμυμώνης ἔρωτα, ἐξ ἧς καὶ Ἀμυμώνια ἐν Ἄργει ὕδατα· ἢ καὶ ἀπὸ τῶν Δαναΐδων, αἳ παραγενόμεναι ἐξ Αἰγύπτου φρεωρυχίαν ἐδίδαξαν, ὡς Ἡσίοδος· 'Ἄργος — εὔυδρον'*

Strabo VIII p. 371 *τὴν μὲν χώραν συγχωροῦσιν εὐυδρεῖν, αὐτὴν δὲ τὴν πόλιν ἐν ἀνύδρῳ χωρίῳ κεῖσθαι, φρεάτων δ' εὐπορεῖν. ἃ ταῖς Δαναΐσιν ἀνάπτουσιν, ὡς ἐκείνων ἐξευρουσῶν, ἀφ' οὗ καὶ τὸ ἔπος εἰπεῖν τοῦτο 'Ἄργος ἄνυδρον ἐὸν Δαναοὶ θέσαν Ἄργος ἔνυδρον'*

idem VIII p. 370 *περὶ δὲ τῶν μυθευομένων πηγῶν εἴρηται, διότι πλάσματα ποιητῶν ἐστί· πλάσμα δὲ καὶ τὸ 'Ἄργος ἄνυδρον ἐὸν Δαναοὶ θέσαν Ἄργος ἔνυδρον'*

Hesychius v. *δίψιον Ἄργος· Ἡσίοδος μὲν τὸ ἄνυδρον, Ἀρίσταρχος δὲ τὸ πολυπόθητον*

cf. Schol. Ven. A Hom. *Δ* 171 (I 177, 31 D.) *ἄνυδρον οὖσαν τὴν Πελοπόννησον ἔφυδρον ἐποίησε Δαναὸς ἐξελθὼν ἀπὸ τῆς Αἰγύπτου καὶ οἰκήσας αὐτήν*

23, 1 *Π* 185 *Ἑρμείας ἀκάκητα*

---

23 cf. Stesich. Fr. 64 B.[4]

24 cf. Callim. Hymn. Iov. 19 sq. *ἔτι δ' ἄβροχος ἦεν ἅπασα | Ἀρκαδίη· μέλλεν δὲ μάλ' εὔυδρος καλέεσθαι*

---

24 *Δαναὸς ποίησεν*] Eustathius (cf. schol. Ven. A Hom. *Δ* 171), *Δαναοὶ θέσαν Ἄργος* Strabo utroque l., quae lectio alterius videtur recensionis esse (*θεοὶ δ' ἂν θέσαν* p. 371 cod. A) *ἔνυδρον*] Strabo, *εὔυδρον* Eustathius in Hesychio *Ἡλιόδωρος* (pro *Ἡσίοδος*) Ruhnken Op. I 204 *ἔφυδρον*] schol. Ven. A Hom., *ἔνυδρον* Nauck MGrR. IV 388

25 (50)

Hecataeus in schol. Eurip. Orest. 872 (I 184, 20 Schw.) *ἡ πολλὴ δόξα κατέχει μὴ ἀφῖχθαι τὸν Αἴγυπτον εἰς Ἄργος, καθάπερ ἄλλοι τέ φασι καὶ Ἑκαταῖος γράφων οὕτως· 'ὁ δὲ Αἴγυπτος αὐτὸς μὲν οὐκ ἦλθεν εἰς Ἄργος, παῖδας δέ* * * *, ὡς μὲν Ἡσίοδος ἐποίησε, πεντήκοντα, ὡς ἐγὼ δέ, οὐδὲ εἴκοσι'*

26 (51)

Strabo VIII p. 370 *καὶ Ἀπολλόδωρος δὲ μόνους τοὺς ἐν Θετταλίᾳ καλεῖσθαί φησιν Ἕλληνας 'Μυρμιδόνες δὲ καλεῦντο καὶ Ἕλληνες', Ἡσίοδον μέντοι καὶ Ἀρχίλοχον ἤδη εἰδέναι καὶ Ἕλληνας λεγομένους τοὺς σύμπαντας καὶ Πανέλληνας, τὸν μὲν περὶ τῶν Προιτίδων λέγοντα ὡς Πανέλληνες ἐμνήστευον αὐτάς, τὸν δὲ κτλ.*

27 (52)

Apollodorus II 2, 1, 4 (p. 58, 4 W.) *Ἀκρίσιος μὲν Ἄργους βασιλεύει, Προῖτος δὲ Τίρυνθος. καὶ γίνεται Ἀκρισίῳ μὲν ἐξ Εὐρυδίκης τῆς Λακεδαίμονος Δανάη, Προίτῳ δὲ ἐκ Σθενεβοίας Λυσίππη καὶ Ἰφινόη καὶ Ἰφιάνασσα· αὗται δέ, ὡς ἐτελειώθησαν, ἐμάνησαν, ὡς μὲν Ἡσιοδός φησιν, ὅτι τὰς Διονύσου τελετὰς οὐ κατεδέχοντο . .*

Probus in Vergil. Buc. VI 48 (p. 22, 18 K.) *Proetides, Proeti regis Argivorum filiae. Hesiodus docet ex Proeto et Stheneboea Amphidamantis natas*

28 (53)

Εἵνεκα μαχλοσύνης στυγερῆς τέρεν ὤλεσαν ἄνθος

Suidas v. *μαχλοσύνη* (II 1, 732, 13 B.)· *κατωφέρεια, γυναικομανία· Ἡσιόδειος ἡ λέξις· λέγει γὰρ περὶ τῶν Προίτου θυγατέρων· 'εἵνεκα — ἄνθος'*

Schol. Ven. A Hom. Ω 25 (II 276, 15 D.) *καὶ ἡ μαχλοσύνη κοινῶς ἐστι γυναικὸς μανία . . . . Ἡσιόδειος δ' ἐστὶν ἡ λέξις· ἐκεῖνος γὰρ πρῶτος ἐχρήσατο ἐπὶ τῶν Προίτου θυγατέρων*

---

25 *παῖδας δέ* * * * *ὡς μὲν Ἡσίοδος ἐποίησε*] *παῖδας δὲ ⟨ἀπέστειλεν⟩, ὡς μὲν Ἡσίοδος ἐποίησε* Kirchhoff Phil. XV 13 (d. hom. Odyss. 327); *παῖδες δέ, ὡς μὲν Ἡσίοδος ἐποίησε, πεντήκοντα* Weil Rev. de phil. n. s. II 84 sq. ('avant *ὡς* on sous-entendra *ἐόντες*, mot qu'il ne me semble pas nécessaire d'ajouter'); *⟨παῖδες δὲ αὐτοῦ· καὶ⟩ παῖδας μέν, ὡς μὲν Ἡσίοδος, ἐποίησε* Wilamowitz Phil. Unters. I 94 *ἐγὼ δὲ*] Weil l. c., *λέγων δὲ* codd. MTA, *δὲ ⟨ἐγὼ⟩ λέγω* Kirchhoff l. c. *εἴκοσι*] Weil l. c., *εἰσί* codd. MA, *ἔστι* T

27 ad Proetidum catalogum pertinere videtur *Λυσίππη — Ἰφιάνασσα*] *Λυσίππη τε καὶ Ἰφινόη καὶ Ἰφιάνασσα* versiculum panxit Wagner ed. Apollod. p. 58 adn.

28 *ὤλεσαν*] *ὤλεσεν* pars codd. Suidae, quod ex Aeliano (Var. Hist. III 42, scil. *ἡ τῆς Κύπρου βασιλίς*) praetulit Marckscheffel l. c. 294

unde Eustathius Hom. 1337, 34 *νεωτέρων γὰρ ἡ λέξις* (*μαχλοσύνη*) *καὶ Ἡσιόδειος, ἐκείνου πρώτου χρησαμένου αὐτῇ ἐπὶ τῶν Προίτου θυγατέρων*

29 (54)

Καὶ γάρ σφιν κεφαλῇσι κατὰ κνύος αἰνὸν ἔχευεν·
ἀλφὸς γὰρ χρόα πάντα κατέσχεθεν, ἐκ δέ νυ χαῖται
ἔρρεον ἐκ κεφαλέων, ψιλοῦτο δὲ καλὰ κάρηνα

1—3 Eustathius Hom. 1746, 7 *ἐκ δὲ τοῦ ῥηθέντος κνύω καὶ 'κνύμα δακτύλων' προφέρει* (*Ἡρωδιανός* I 445, 18 L.) *ἐκ τοῦ κωμικοῦ καὶ κνύος δὲ τὴν φθορὰν κατὰ γένος οὐδέτερον . . . . φέρων καὶ χρῆσιν ἐκ τοῦ παρὰ Ἡσιόδῳ καταλόγου περὶ τῶν Προιτίδων. 'καὶ γάρ — κάρηνα'*

1. 3 Et. gen. et mag. v. *κνύζω* (*κνύω* Et. mag.) *ἀφ' οὗ κνύος ἡ φθορὰ οἷον 'κατὰ — ἔχευεν' 'ψίλωτο — κάρηνα'* cf. Et. Gud. 331, 2 . . . *κνύω, ἀφ' οὗ καὶ κνύος ἡ φθορά, οἷον 'κατὰ κνύος* ⟨*αἰνὸν*⟩ *ἔχευεν'*

